προφήτης καὶ ὁ προφήτης[1]. 9. Καὶ πᾶς προφήτης ὁρίζων[a] τράπεζαν ἐν πνεύματι, οὐ φάγεται ἀπ' αὐτῆς, εἰ δὲ μήγε, ψευδοπροφήτης ἐστί[2]. 10. Πᾶς δὲ προφήτης διδάσκων τὴν ἀλήθειαν, εἰ ἃ διδάσκει οὐ ποιεῖ, ψευδοπροφήτης ἐστί. 11. Πᾶς δὲ προφήτης δεδοκιμασμένος, ἀληθινός, ποιῶν εἰς μυστήριον κοσμικὸν[3] ἐκκλησίας, μὴ διδάσκων δὲ ποιεῖν, ὅσα αὐτὸς ποιεῖ, οὐ κριθήσεται ἐφ' ὑμῶν· μετὰ θεοῦ γὰρ ἔχει τὴν κρίσιν· ὡσαύτως γὰρ ἐποίησαν καὶ οἱ ἀρχαῖοι προφῆται. 12. Ὃς δ' ἂν εἴπῃ ἐν πνεύματι· Δός μοι ἀργύρια, ἢ ἕτερά τινα[4], οὐκ ἀκούσεσθε αὐτοῦ· ἐὰν δὲ περὶ ἄλλων ὑστερούντων εἴπῃ δοῦναι, μηδεὶς αὐτὸν κρινέτω.

et propheta. 9. Et quicunque propheta mensam apparari iusserit in spiritu, non comedet ex ea; sin minus, pseudopropheta est. 10. Omnis autem propheta, qui docet verum, si quod docet non facit, pseudopropheta est 11. At omnis propheta verus probatus, qui agit ad mysterium terrenum ecclesiae, nec vero agenda esse docet, quaecunque ipse agit, non iudicabitur apud vos; apud deum enim habet iudicium; namque eodem modo egerunt antiqui prophetae. 12. Qui dixerit in spiritu: Da mihi argentum, vel alia quaedam, nolite eum audire; si vero de aliis indigentibus, ut iis detur, dixerit, nemo eum iudicet.

[a] ὁ ῥίζων *cod.*

[1] Matth. 7, 16. [2] Sensus est: Si propheta in spiritu mensam parari ad egenos alendos iusserit et ipse ex apparatis cibis comederit, pseudopropheta est. [3] Hic locus obscuritatibus scatet. Harnack propter Eph. 5, 32 mysterium terrenum seu mundanum ecclesiae matrimonium esse ratus ita explicat: Quicunque propheta matrimonio abstinet, alii autem ut abstineant, non postulat, condemnandus non est. Haec interpretatio improbanda est, quia virginitas apud Christianos excusanda non erat. Melius Krawutzcky (Theol. Quartalschrift 1884, 581[2]) respiciens Osee 1, 2 de matrimonio semel vel iterum inito cogitavit. Praeferenda autem videtur sententia, quam primus Bryennios proposuit, postea Harris (The Teaching of the Apostles, Londini 1887, 71—74) defendit: Omnis propheta verax, qui coram populo more veterum prophetarum ex. gr. Num. 21, 9 et Is. 20, 2—4 opus symbolicum facit, nec vero populum idem facere docet, non iudicabitur. [4] Matth. 10, 8.

XII. *Πᾶς δὲ „ὁ ἐρχόμενος ἐν ὀνόματι κυρίου“* [1] *δεχθήτω* [2]· *ἔπειτα δὲ δοκιμάσαντες αὐτὸν γνώσεσθε, σύνεσιν γὰρ ἕξετε*[a], *δεξιὰν καὶ ἀριστεράν.* 2. *Εἰ μὲν παρόδιός ἐστιν ὁ ἐρχόμενος, βοηθεῖτε αὐτῷ, ὅσον δύνασθε· οὐ μενεῖ δὲ πρὸς ὑμᾶς εἰ μὴ δύο ἢ τρεῖς ἡμέρας, ἐὰν ᾖ ἀνάγκη.* 3. *Εἰ δὲ θέλει πρὸς ὑμᾶς καθῆσθαι*[b], *τεχνίτης ὤν, ἐργαζέσθω καὶ φαγέτω* [3]· 4. *εἰ δὲ οὐκ ἔχει τέχνην, κατὰ τὴν σύνεσιν ὑμῶν προνοήσατε, πῶς μὴ ἀργὸς μεθ' ὑμῶν ζήσεται Χριστιανός* [4]. 5. *Εἰ δ' οὐ θέλει οὕτω ποιεῖν, χριστέμπορός* [5] *ἐστι· προσέχετε ἀπὸ τῶν τοιούτων.*

XIII. *Πᾶς δὲ προφήτης ἀληθινός, θέλων καθῆσθαι*[b] *πρὸς ὑμᾶς, „ἄξιός ἐστι τῆς τροφῆς αὐτοῦ“* [6]. 2. *Ὡσαύτως διδάσκαλος* [7] *ἀληθινός ἐστιν ἄξιος καὶ αὐτὸς ὥσπερ ὁ ἐργάτης τῆς τροφῆς αὐτοῦ.* 3. *Πᾶσαν οὖν ἀπαρχὴν* [8]

XII. Quicunque venit *in nomine domini*, excipitor; postea autem probantes eum cognoscetis, intellectum enim habebitis, a dextra et a sinistra. 2. Siquidem viator transiens est is, qui venit, subvenite ei, quantum potestis; non vero manebit apud vos nisi duos vel tres dies, si opus fuerit. 3. Si autem apud vos considere vult et artifex est, laboret et comedat; 4. sin artem non exercet, pro intellegentia vestra providete, ne otiosus vobiscum vivat Christianus. 5. Si ita facere non vult, Christo abutitur quaestus causa; abhorrete a talibus hominibus.

XIII. Omnis propheta verus, qui vult considere apud vos, *dignus est victu suo.* 2. Item doctor verus dignus est et ipse sicut operarius victu suo. 3. Omnes ergo primitias eorum, quae nascuntur torculari et area et

[a] *ἕξεται cod.* [b] *καθῆσαι cod., καθίσαι Harnack.*

[1] Matth. 21, 9. [2] i. e. confestim et priusquam probetur. [3] 2 Thess. 3, 10. [4] Enixe igitur Doctrina laborandi officium Christianis inculcat. [5] Haec vox *χριστέμπορος* ante Doctrinam nusquam occurrit; cfr. 1 Tim. 6, 5. [6] Matth. 10, 10. [7] Doctores etiam in sacra scriptura saepius una cum prophetis commemorantur, ex. gr. Act. 13, 1 et 1 Tim. 2, 7; ab utrisque Christiani erudiebantur; sed cum prophetae in spiritu loquerentur, doctores communi sermone utebantur. [8] De primitiis a Judaeis sacerdotibus dandis cfr. Exod. 22, 29 et Deut. 18, 3. 4.

γεννημάτων[a] ληνοῦ καὶ ἅλωνος, βοῶν τε καὶ προβάτων λαβὼν δώσεις τὴν ἀπαρχὴν τοῖς προφήταις· αὐτοὶ γάρ εἰσιν οἱ ἀρχιερεῖς ὑμῶν. 4. Ἐὰν δὲ μὴ ἔχητε προφήτην, δότε τοῖς πτωχοῖς[1]. 5. Ἐὰν σιτίαν ποιῇς, τὴν ἀπαρχὴν λαβὼν δὸς κατὰ τὴν ἐντολήν[2]. 6. Ὡσαύτως κεράμιον οἴνου ἢ ἐλαίου ἀνοίξας, τὴν ἀπαρχὴν λαβὼν δὸς τοῖς προφήταις· 7. ἀργυρίου δὲ καὶ ἱματισμοῦ καὶ παντὸς κτήματος λαβὼν τὴν ἀπαρχὴν ὡς ἄν σοι δόξῃ, δὸς κατὰ τὴν ἐντολήν.

bobus ovibusque, sumes et dabis primitias prophetis; ipsi enim sunt summi vestri sacerdotes. 4. Si vero non habebitis prophetam, date egentibus. 5. Si panem facies, primitias sume et da secundum praeceptum. 6. Item si urceum vini vel olei aperueris, primitias sume et da prophetis; 7. argenti et vestis omnisque possessionis sume primitias, sicuti tibi placuerit, et da secundum praeceptum.

XIV. Κατὰ κυριακὴν[3] δὲ κυρίου συναχθέντες κλάσατε ἄρτον καὶ εὐχαριστήσατε, προεξομολογησάμενοι[b] τὰ παραπτώματα[4] ὑμῶν, ὅπως καθαρὰ ἡ θυσία ὑμῶν ᾖ. 2. Πᾶς δὲ ἔχων τὴν ἀμφιβολίαν μετὰ τοῦ ἑταίρου αὐτοῦ μὴ συνελθέτω ὑμῖν, ἕως οὗ διαλλαγῶσιν[5], ἵνα μὴ κοινωθῇ[6] ἡ θυσία ὑμῶν. 3. Αὕτη γάρ ἐστιν ἡ ῥηθεῖσα ὑπὸ

XIV. Die autem dominica congregati frangite panem et gratias agite, postquam confessi eritis peccata vestra, ut mundum sit sacrificium vestrum. 2. Omnis vero, qui habet controversiam cum socio suo, ne conveniat vobiscum, antequam reconciliati erunt, ne profanetur sacrificium vestrum. 3. Hoc enim dictum

[a] γεννημάτων cod. [b] προσεξομολογησάμενοι.

[1] Prophetae igitur apud Christianos vice sacerdotum fungebantur, neque tamen in omnibus ecclesiis inveniebantur.
[2] Num. 15. 20. 21. [3] Eadem vox κυριακή legitur Apoc. 1, 10 et apud s. Ignatium (Magnes. IX 1: κατὰ κυριακὴν ζῶντες). Christianis morem fuisse diebus dominicis convenire testatur etiam s. Justinus (Apol. I 67). [4] Confessionem peccatorum fractioni et sumptioni panis antecessisse alibi apud veteres scriptores non legitur.
[5] Matth. 5, 23. 24. [6] Verbum κοινοῦν significat: inquinare; vide Matth. 15, 11.

κυρίου· „Ἐν παντὶ τόπῳ καὶ χρόνῳ προσφέρειν μοι θυσίαν καθαράν· ὅτι βασιλεὺς μέγας εἰμί, λέγει κύριος, καὶ τὸ ὄνομά μου θαυμαστὸν ἐν τοῖς ἔθνεσι“ [1].

XV. Χειροτονήσατε οὖν ἑαυτοῖς ἐπισκόπους καὶ διακόνους [2] ἀξίους τοῦ κυρίου, ἄνδρας πραεῖς καὶ ἀφιλαργύρους [3] καὶ ἀληθεῖς καὶ δεδοκιμασμένους· ὑμῖν γὰρ λειτουργοῦσι καὶ αὐτοὶ τὴν λειτουργίαν τῶν προφητῶν καὶ διδασκάλων. 2. Μὴ οὖν ὑπερίδητε αὐτούς [4]· αὐτοὶ γάρ εἰσιν οἱ τετιμημένοι ὑμῶν μετὰ τῶν προφητῶν καὶ διδασκάλων.

3. Ἐλέγχετε δὲ ἀλλήλους μὴ ἐν ὀργῇ, ἀλλ' ἐν εἰρήνῃ, ὡς ἔχετε ἐν τῷ εὐαγγελίῳ [5]· καὶ παντὶ ἀστοχοῦντι κατὰ τοῦ ἑτέρου μηδεὶς λαλείτω μηδὲ παρ' ὑμῶν ἀκουέτω, ἕως οὗ μετανοήσῃ. 4. Τὰς δὲ εὐχὰς ὑμῶν[a] καὶ τὰς ἐλεημοσύνας καὶ πάσας τὰς πράξεις οὕτω ποιή-

est a domino: *Omni loco et omni tempore offeratur mihi sacrificium mundum, quoniam rex magnus sum, inquit dominus, et nomen meum admirabile in gentibus.*

XV. Eligite igitur vobis episcopos et diaconos dignos domino, viros mansuetos neque argenti cupidos, veraces et probatos; pro vobis enim explent et ipsi munera prophetarum et doctorum. 2. Ne igitur despiciatis eos; ipsi enim sunt honorati vestrum cum prophetis et doctoribus.

3. Arguite autem alter alterum non in ira sed in pace, ut habetis in evangelio; et si quis in proximum deliquerit, ne quis loquatur cum eo neve apud vos audiatur, donec eum paenituerit. 4. Orationes vestras et eleemosynas omnesque res ita

[a] ἡμῶν *cod.*

[1] Malach 1, 11. [2] Ut hic sic multis aliis locis a veteribus scriptoribus episcopi et diaconi praesides ecclesiarum commemorantur; ex. gr. Phil. 1, 1; 1 Tim. 3, 2—13; s. Clemens Rom., 1. Ep. ad Cor. 42. [3] Pecuniae cupidos esse episcopos et diaconos vetat etiam s. Paulus (1 Tim. 3, 3 et 8). Teste Justino (Apol. I 67) apud episcopum pecunia deponebatur, qua ipse inopibus subveniret; diaconi vero curatores pauperum ex officio erant. [4] Quod tunc temporis facile fieri poterat, quia in compluribus saltem ecclesiis charismatici seu viri doctrina et eloquentia conspicui erant. [5] Matth. 5, 22—26; 18, 15.

σατε, ὡς ἔχετε ἐν τῷ εὐαγγελίῳ τοῦ κυρίου ἡμῶν.

XVI. Γρηγορεῖτε ὑπὲρ τῆς ζωῆς ὑμῶν· „οἱ λύχνοι ὑμῶν μὴ σβεσθήτωσαν, καὶ αἱ ὀσφύες ὑμῶν μὴ ἐκλυέσθωσαν, ἀλλὰ γίνεσθε ἕτοιμοι· οὐ γὰρ οἴδατε τὴν ὥραν, ἐν ᾗ ὁ κύριος ἡμῶν ἔρχεται“ [1]. 2. Πυκνῶς [2] δὲ συναχθήσεσθε ζητοῦντες τὰ ἀνήκοντα ταῖς ψυχαῖς ὑμῶν· οὐ γὰρ ὠφελήσει ὑμᾶς ὁ πᾶς χρόνος τῆς πίστεως ὑμῶν, ἐὰν μὴ ἐν τῷ ἐσχάτῳ καιρῷ τελειωθῆτε.

3. Ἐν γὰρ ταῖς ἐσχάταις ἡμέραις πληθυνθήσονται οἱ ψευδοπροφῆται καὶ οἱ φθορεῖς, καὶ στραφήσονται τὰ πρόβατα εἰς λύκους [3], καὶ ἡ ἀγάπη στραφήσεται εἰς μῖσος· 4. αὐξανούσης γὰρ τῆς ἀνομίας μισήσουσιν ἀλλήλους καὶ διώξουσι καὶ παραδώσουσι [4], καὶ τότε φανήσεται ὁ κοσμοπλανὴς [a 5] ὡς υἱὸς θεοῦ [6] καὶ ποιήσει σημεῖα καὶ τέρατα [7], καὶ ἡ γῆ παραδοθήσεται εἰς χεῖρας αὐτοῦ, καὶ ποιήσει ἀθέμιτα, ἃ οὐδέποτε γέγονεν ἐξ αἰῶνος.

5. Τότε ἥξει ἡ κτίσις τῶν ἀνθρώπων εἰς τὴν πύρωσιν τῆς

peragite, ut habetis in evangelio domini nostri.

XVI. Vigilate pro vita vestra; *lucernae vestrae ne exstinguantur neve lumbi vestri discingantur, sed estote parati; nescitis enim, qua hora dominus noster venturus sit.* 2. Crebro autem convenietis, quaerentes, quae conducant animis vestris; non enim proderit vobis totum tempus fidei vestrae, nisi extremo tempore perfecti eritis.

3. Extremis enim diebus increbreseent falsi prophetae et corruptores et convertentur oves in lupos caritasque vertetur in odium; 4. crescente enim malitia alius alium oderit et persequetur et prodet, ac tunc apparebit orbis deceptor tamquam filius dei et faciet signa prodigiaque, et terra tradetur in manus eius et faciet nefaria, quae numquam facta sunt ab initio.

5. Tunc veniet creatura hominum in ignem probationis et

[a] κοσμοπλάνος *Bryennios Harnack.*

[1] Matth. 24, 42. 44; Luc. 12, 35. [2] crebro vel crebri. [3] Matth. 7, 15. [4] Matth. 24, 12. [5] Apoc. 12, 9: ὁ πλανῶν τῆς οἰκουμένης; 2 Joh. 7: ὁ πλάνος καὶ ἀντίχριστος. [6] 2 Thess. 2, 4. [7] Matth. 24, 24.

δοκιμασίας, „καὶ σκανδαλισθήσονται πολλοὶ καὶ ἀπολοῦνται, οἱ δὲ ὑπομείναντες ἐν τῇ πίστει αὐτῶν σωθήσονται“ [1] *ὑπ' αὐτοῦ τοῦ καταθέματος* [2]. 6. *Καὶ τότε φανήσεται τὰ σημεῖα τῆς ἀληθείας· πρῶτον σημεῖον ἐκπετάσεως ἐν οὐρανῷ* [3], *εἶτα σημεῖον φωνῆς σάλπιγγος* [4], *καὶ τὸ τρίτον ἀνάστασις νεκρῶν·* 7. *οὐ πάντων δέ* [5], *ἀλλ' ὡς ἐρρέθη· „Ἥξει ὁ κύριος καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ“* [6]. 8. *Τότε ὄψεται ὁ κόσμος τὸν κύριον ἐρχόμενον ἐπάνω τῶν νεφελῶν τοῦ οὐρανοῦ* [7].

scandalizabuntur multi et peribunt, qui autem perseveraverint in fide sua, salvabuntur ab ipso exsecrato. 6. Et tunc apparebunt signa veritatis; primum signum expansionis in caelo, deinde signum vocis tubae ac tertium resurrectio mortuorum; 7. neque vero omnium, sed ut dictum est: *Veniet dominus et omnes sancti cum eo.* 8. Tunc videbit orbis terrarum dominum venientem super nubibus caeli.

[1] Matth. 24, 10. 13. [2] *Κατάθεμα*, quod idem est atque *ἀνάθεμα* (cfr. Apoc. 22, 3), significat hoc loco Christum, cui ab improbis maledicitur et quem pro nobis factum esse maledictum s. Paulus docet (Gal. 3, 13). [3] Caelum Christo adventante aperietur. [4] Matth. 24, 31. [5] 1 Cor. 15, 23: (Vivificabuntur) primitiae Christus, deinde ii, qui sunt Christi, qui in adventu eius crediderunt, deinde finis. Matth. 24, 31: (Angeli) congregabunt electos a quattuor ventis; cfr. etiam 1 Thess. 4, 15. [6] Zach. 14, 5. [7] Matth. 14, 30.

II.

S. IGNATII EPISTULA AD ROMANOS.

Ἰγνάτιος[a], ὁ καὶ Θεοφόρος, τῇ ἠλεημένῃ ἐν μεγαλειότητι πατρὸς ὑψίστου καὶ Ἰησοῦ Χριστοῦ τοῦ μόνου υἱοῦ αὐτοῦ ἐκκλησίᾳ ἠγαπημένῃ καὶ πεφωτισμένῃ ἐν θελήματι τοῦ θελήσαντος τὰ πάντα, ἃ ἔστι, κατὰ ἀγάπην Ἰησοῦ Χριστοῦ, τοῦ θεοῦ ἡμῶν, ἥτις καὶ προκάθηται ἐν τόπῳ χωρίου Ῥωμαίων[2], ἀξιόθεος, ἀξιοπρεπής, ἀξιομακάριστος, ἀξιέπαινος, ἀξιοεπίτευκτος, ἀξιό-

Ignatius[1], qui et Theophorus, habenti propitiationem in magnitudine patris altissimi et Iesu Christi, solius filii ipsius, ecclesiae dilectae et illuminatae in voluntate volentis omnia, quae sunt, secundum dilectionem Iesu Christi, dei nostri, quae et praesidet in loco chori Romanorum, digna deo, digna decentia, digna beatitudine, digna laude, digne ordinata, digne casta et praesi-

[a] *Signa, quibus in hac epistula recensenda usus sum, sunt: C = codex graecus Colbertinus; L = antiqua versio anglolatina; G_2 = Pseudoignatius seu textus graecus recensionis longioris; S versio syriaca Martyrio Colbertino inclusa; α = codex Hierosolymitanus ab Harris nuper inventus; β = Sinaiticus ab Harris nuper inventus. Praeterea commemorantur editiones Funkii, Hilgenfeldii, Lightfootii, Zahnii.*

[1] Versio latina est antiqua saeculo XIII. in Anglia orta et publicata a Zahn in maiore editione Patrum apostolicorum et nuperrime ab Hilgenfeld (Ignat. Ant. etc. ed. Hilg., Berol. 1902); cfr. Prolegomena p. 4. [2] Quae praesidet regioni Romanorum; regione autem Romana vel urbs Roma cum suburbiis vel potius totum imperium Romanum significatur. Interpres latinus vertens: „quae et praesidet in loco chori Romanorum“ pro χωρίου legit χοροῦ.

αγνος καὶ προκαθημένη τῆς ἀγάπης[1], *χριστόνομος*[a], *πατρώνυμος, ἣν καὶ ἀσπάζομαι ἐν ὀνόματι Ἰησοῦ Χριστοῦ, υἱοῦ πατρός· κατὰ σάρκα καὶ πνεῦμα ἡνωμένοις πάσῃ ἐντολῇ αὐτοῦ, πεπληρωμένοις χάριτος θεοῦ ἀδιακρίτως καὶ ἀποδιϋλισμένοις ἀπὸ παντὸς ἀλλοτρίου χρώματος πλεῖστα ἐν Ἰησοῦ Χριστῷ, τῷ θεῷ ἡμῶν, ἀμώμως χαίρειν.*

I. *Ἐπευξάμενος*[b] *θεῷ ἐπέτυχον ἰδεῖν ὑμῶν τὰ ἀξιοθέατα*[c] *πρόσωπα, ὡς καὶ πλέον ἠτούμην λαβεῖν· δεδεμένος γὰρ*[d] *ἐν Χριστῷ Ἰησοῦ ἐλπίζω ὑμᾶς ἀσπάσασθαι, ἐάνπερ θέλημα ᾖ τοῦ*[e] *ἀξιωθῆναί με εἰς τέλος εἶναι.*

dens in caritate, Christi legem habens [et] patris nomen, quam et saluto in nomine Iesu Christi, filii patris; secundum carnem et spiritum unitis in omni mandato ipsius, impletis gratia dei indivisim et abstractis ab omni alieno colore plurimum in Iesu Christo deo nostro immaculate gaudere.

I. Deprecans deum attigi videre vestras dignas visione facies, ut et amplius petebam accipere. Ligatus enim in Christo Iesu spero vos salutare, siquidem voluntas sit, ut dignificer in finem esse. 2. Princi-

[a] *χριστώνομος Cβ.* [b] *Ita Hilg. cum L; ἐπεὶ εὐξάμενος Funk Lightf. Zahn cum CαβG*$_2$. [c] *Ita Hilg. cum Lβ, ἀξιόθεα Funk ceteri cum CG*$_2$*αS.* [d] *om. C.* [e] *θεοῦ addit C.*

[1] Pearson interpretatus est: 'quae in caritate seu in operibus misericordiae et caritatis praeeminet'; eum protestantes passim sequuntur. Catholici vero *ἀγάπην* intellegunt hoc loco ecclesiam vel coetum Christianorum (cfr. Phil. 11, 2, Smyrn. 12, 1); hanc interpretationem Funk praeferendam esse censet (Kirchengeschichtliche Abhandlungen I, 1897, 2 squ.). Equidem censeo et a Funkio controversiam disceptatam non esse; nam in locis, quos adfert ad sententiam suam firmandam, *ἀγάπη* vox non satis clare ecclesiam designat; deinde apud Herodotum (VIII 36) verbum *προκαθῆσθαι* cum genetivo idem valet quod tueri vel defendere, et apud Pseudo-Clementem (Epist. ad Jacobum c. 2 et 17) episcopus nominatur: *προκαθεζόμενος ἀληθείας*; in caritatis autem operibus ecclesiam Romanam semper primatum tenuisse docet epistula s. Dionysii apud Eus., H. e. IV 23, 10. Funk ipse in recenti Patrum apostolicorum editione (1901) fluctuat, cum scribat (p. 253): 'Non est autem, quod in hac interpretatione perstemus. . . . Protestantes quoque plurimi agnoscunt, Ignatium verbis *ἥτις προκάθηται* de ecclesiae (Romanae) primatu loqui'.

2. Ἡ μὲν γὰρ ἀρχὴ εὐοικονόμητός ἐστιν, ἐάνπερ χάριτος ἐπιτύχω εἰς τὸ τὸν κλῆρόν μου ἀνεμποδίστως ἀπολαβεῖν· φοβοῦμαι γὰρ τὴν ὑμῶν ἀγάπην, μὴ αὐτή με ἀδικήσῃ. Ὑμῖν γὰρ εὐχερές ἐστιν, ὃ θέλετε ποιῆσαι· ἐμοὶ δὲ δύσκολόν ἐστι τοῦ θεοῦ ἐπιτυχεῖν, ἐάνπερ ὑμεῖς μὴ[a] φείσησθέ μου[1].

II. Οὐ γὰρ θέλω ὑμᾶς[b] ἀνθρωπαρεσκῆσαι, ἀλλὰ θεῷ ἀρέσαι, ὥσπερ καὶ ἀρέσκετε· οὔτε[c] γὰρ ἐγώ ποτε ἕξω καιρὸν τοιοῦτον θεοῦ ἐπιτυχεῖν, οὔτε ὑμεῖς, ἐὰν σιωπήσητε, κρείττονι ἔργῳ ἔχετε ἐπιγραφῆναι[2]. Ἐὰν γὰρ σιωπήσητε ἀπ' ἐμοῦ, ἐγὼ λόγος[d] θεοῦ· ἐὰν δὲ ἐρασθῆτε τῆς σαρκός μου, πάλιν ἔσομαι φωνή[e]. 2. Πλέον δέ[f] μοι μὴ παράσχησθε τοῦ σπονδισθῆναι θεῷ, ὡς ἔτι θυσιαστήριον ἕτοιμόν ἐστιν, ἵνα ἐν ἀγάπῃ χορὸς γενόμενοι ᾄσητε τῷ πατρὶ ἐν Χριστῷ Ἰησοῦ, ὅτι τὸν ἐπίσκοπον Συρίας ὁ θεὸς κατηξίωσεν εὑρεθῆναι εἰς δύσιν ἀπὸ ἀνατολῆς μεταπεμψάμενος. Καλὸν τὸ δῦναι ἀπὸ κόσμου πρὸς θεόν, ἵνα εἰς αὐτὸν ἀνατείλω.

pium quidem enim bene dispensatum est, siquidem gratia potiar ad haereditatem meam sine impedimento lucrari; timeo enim caritatem vestram, ne ipsa me laedat. Vobis enim facile est, quod vultis, facere; mihi autem difficile est deo potiri, siquidem vos non parcitis mihi.

II. Non enim volo vos hominibus placere, sed deo placere, quemadmodum et placetis. Neque enim ego habebo aliquando tempus tale deo potiendi, neque vos si taceatis, meliori operi habetis inscribi. Si enim taceatis a me, ego verbum dei; si autem desideretis carnem meam, rursus factus sum vox. 2. Plus autem mihi non tribuetis quam sacrificari deo, dum adhuc sacrificatorium paratum est, ut in caritate chorus effecti cantetis patri in Iesu Christo, quoniam episcopum Syriae dignificavit deus, inveniri in occidentem ab oriente transmittens. Bonum occidere a mundo in deum, ut in ipso oriar.

[a] *om. CaβS.* [b] *ὑμῖν C.* [c] *οὐ C.* [d] *ἐγὼ γενήσομαι CG_2, λόγος γενήσομαι S Zahn.* [e] *τρέχων Caβ, ἠχώ Hilg. Zahn.* [f] *om. Funk cum Caβ.*

[1] Ignatius timebat, ne Romani Caesarem appellando martyrii palmam sibi eriperent. [2] Artifices operibus suis nomina sua vel patronorum inscribere vel insculpere solent.

III. *Οὐδέποτε ἐβασκάνατε οὐδενί*[a], *ἄλλους ἐδιδάξατε*[1]. *Ἐγὼ δὲ θέλω, ἵνα κἀκεῖνα βέβαια ᾖ, ἃ μαθητεύοντες ἐντέλλεσθε*[b 2]. 2. *Μόνον μοι δύναμιν αἰτεῖσθε ἔσωθέν τε καὶ ἔξωθεν, ἵνα μὴ μόνον λέγω, ἀλλὰ καὶ θέλω, ἵνα μὴ μόνον λέγωμαι Χριστιανός, ἀλλὰ καὶ εὑρεθῶ· ἐὰν γὰρ*[c] *εὑρεθῶ, καὶ λέγεσθαι δύναμαι καὶ τότε πιστὸς εἶναι, ὅταν κόσμῳ μὴ φαίνωμαι. 3. Οὐδὲν φαινόμενον καλόν*[d]. *Ὁ γὰρ θεὸς ἡμῶν Ἰησοῦς Χριστὸς ἐν πατρὶ ὢν μᾶλλον φαίνεται*[3]. *Οὐ πεισμονῆς*[e] *τὸ ἔργον, ἀλλὰ μεγέθους ἐστὶν ὁ χριστιανισμός, ὅταν μισῆται ὑπὸ κόσμου*[4].

IV. *Ἐγὼ γράφω ταῖς*[f] *ἐκκλησίαις καὶ ἐντέλλομαι πᾶσιν, ὅτι ἐγὼ ἑκὼν ὑπὲρ θεοῦ ἀποθνήσκω, ἐάνπερ ὑμεῖς μὴ κωλύσητε. Παρακαλῶ ὑμᾶς, μὴ εὔνοια ἄκαιρος γένησθέ μοι· ἄφετέ με θηρίων εἶναι βοράν, δι' ὧν ἔστι*[g] *θεοῦ ἐπιτυχεῖν. Σῖτός εἰμι θεοῦ καὶ*

III. Nunquam invidistis in aliquo, alios edocuistis. Ego autem volo, ut et illa firma sint, quae docentes praecepistis. 2. Solum mihi potentiam petatis ab intra et ab extra, ut non solum dicam, sed et velim, non ut solum dicar Christianus, sed et inveniar; si enim inveniar et dici possum et tunc fidelis esse, quando utique mundo non appareo. 3. Nihil apparens bonum est. Deus enim noster Iesus Christus in patre exsistens magis apparet. Non suasionis opus, sed magnitudinis est Christianus, quando utique oditur a mundo.

IV. Scribo ecclesiis et praecipio omnibus, quoniam volens pro deo morior, siquidem vos non prohibeatis. Deprecor vos: non concordia intempestiva fiatis mihi; dimittite me bestiarum esse cibum, per quas est deo potiri. Frumentum sum dei et

[a] *Ita G_2L, οὐδένα Ca Hilg. et fortasse rectum.* [b] *ἐνετείλασθε L, Hilg.* [c] *γὰρ καὶ C.* [d] *αἰώνιον, τὰ γὰρ βλεπόμενα πρόσκαιρα, τὰ δὲ μὴ βλεπόμενα αἰώνια C.* [e] *σιωπῆς μόνον Ca.* [f] *Ita Hilg. cum CLS, πάσαις ταῖς Funk Lightf. Zahn.* [g] *ἔνεστιν C.*

[1] Ignatius dicere videtur, Romanos nunquam aegre tulisse, quod quisquam gloriam pro Christo moriendi assequeretur, imo vero alios verbo et exemplo ad martyrium subeundum incitasse. [2] i. e. martyrium subire alios docetis et iubetis. [3] Christus ad patrem reversus et invisibilis factus amplius glorificatur quam cum versabatur in terra.

δι' ὀδόντων θηρίων ἀλήθομαι, ἵνα καθαρὸς ἄρτος εὑρεθῶ τοῦ Χριστοῦ. 2. Μᾶλλον κολακεύσατε τὰ θηρία, ἵνα μοι τάφος γένωνται καὶ μηδὲν[a] *καταλίπωσι τῶν*[b] *τοῦ σώματός μου, ἵνα μὴ κοιμηθεὶς βαρύς τινι γένωμαι. Τότε ἔσομαι μαθητὴς ἀληθὴς*[c] *Ἰησοῦ*[d] *Χριστοῦ, ὅτε οὐδὲ τὸ σῶμά μου ὁ κόσμος ὄψεται. Λιτανεύσατε τὸν Χριστὸν ὑπὲρ ἐμοῦ, ἵνα διὰ τῶν ὀργάνων τούτων θεῷ*[e] *θυσία εὑρεθῶ. 3. Οὐχ ὡς Πέτρος καὶ Παῦλος*[1] *διατάσσομαι ὑμῖν· ἐκεῖνοι ἀπόστολοι, ἐγὼ κατάκριτος· ἐκεῖνοι ἐλεύθεροι*[2]*, ἐγὼ δὲ μέχρι νῦν δοῦλος. Ἀλλ' ἐὰν πάθω, ἀπελεύθερος γενήσομαι*[f] *Ἰησοῦ Χριστοῦ καὶ ἀναστήσομαι ἐν αὐτῷ*[g] *ἐλεύθερος. Νῦν μανθάνω δεδεμένος μηδὲν ἐπιθυμεῖν*[h]*.*

per dentes bestiarum molar, ut mundus panis inveniar Christi. 2. Magis blandite bestiis, ut mihi sepulcrum fiant et nihil derelinquant eorum, quae corporis mei, ut non dormiens gravis alicui inveniar. Tunc ero discipulus verus Iesu Christi, quando neque corpus meum mundus videbit. Orate Christum pro me, ut per organa ista dei sacrificium inveniar. 3. Non ut Petrus et Paulus praecipio vobis; illi apostoli, ego condemnatus; illi liberi, ego usque nunc servus. Sed si patiar, manumissus fiam Iesu Christi et resurgam liber. Et nunc disco vinctus nihil concupiscere.

V. *Ἀπὸ Συρίας μέχρι Ῥώμης θηριομαχῶ, διὰ γῆς καὶ θαλάσσης, νυκτὸς καὶ ἡμέρας, δεδεμένος*[i] *δέκα λεοπάρδοις*[3]*, ὅ ἐστι στρατιωτικὸν*[k] *τάγμα· οἳ καὶ εὐερ-*

V. A Syria usque Romam cum bestiis pugno per terram et per mare, nocte et die vinctus decem leopardis, quod est militaris ordo, qui et beneficiati

[a] *μηθὲν C Funk.* [b] *om. C.* [c] *Ita LG*$_2$*, ἀληθῶς C Lightf. Funk.* [d] *τοῦ C.* [e] *om. C.* [f] *om. C Hilg.* [g] *om. L.* [h] *C addit: κοσμικὸν ἢ μάταιον.* [i] *ἐνδεδεμένος Eus. III 36, 7 G*$_2$ *Hilg. Lightf.* [k] *στρατιωτικῶν C.*

[1] Hosce apostolos commemorat, quia Romae evangelio adnuntiato mortem occubuerunt. [2] i. e. liberi infirmitate humana. [3] Loquitur de decem militibus, a quibus vinctus Romam ducebatur et quibuscum ei pugnandum erat quasi cum bestiis. Notandum praeterea est, Ignatium ex omnibus primum leopardorum mentionem fecisse.

γετούμενοι χείρους γίνονται· ἐν δὲ τοῖς ἀδικήμασιν αὐτῶν μᾶλλον μαθητεύομαι, „ἀλλ' οὐ παρὰ τοῦτο δεδικαίωμαι“ [1]. 2. Ὀναίμην τῶν θηρίων τῶν ἑμοὶ ἡτοιμασμένων καὶ[a] εὔχομαι σύντομά[b] μοι εὑρεθῆναι· ἃ καὶ κολακεύσω, συντόμως με καταφαγεῖν, οὐχ ὥσπερ τινῶν δειλαινόμενα οὐχ ἥψαντο. Κἂν αὐτὰ δὲ ἄκοντα[c] μὴ θελήσῃ, ἐγὼ προσβιάσομαι. 3. Συγγνώμην μοι ἔχετε· τί μοι συμφέρει, ἐγὼ γινώσκω. Νῦν ἄρχομαι μαθητὴς εἶναι· μηδέν[d] με ζηλώσαι[e] τῶν ὁρατῶν καὶ ἀοράτων, ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω. Πῦρ καὶ σταυρὸς θηρίων τε συστάσεις, (ἀνατομαί, διαιρέσεις[f],) σκορπισμοὶ ὀστέων, συγκοπὴ μελῶν, ἀλεσμοὶ ὅλου τοῦ σώματος, κακαὶ κολάσεις· τοῦ διαβόλου ἐπ' ἐμὲ ἐρχέσθωσαν, μόνον ἵνα Ἰησοῦ Χριστοῦ ἐπιτύχω.

VI. Οὐδέν μοι[g] ὠφελήσει τὰ πέρατα[h] τοῦ κόσμου οὐδὲ αἱ βασιλεῖαι τοῦ αἰῶνος τούτου. Καλόν[i] μοι ἀποθανεῖν διὰ[k] Χριστὸν Ἰησοῦν, ἢ βασιλεύειν τῶν περάτων τῆς γῆς. Ἐκεῖνον ζητῶ, τὸν ὑπὲρ

deteriores fiunt; in iniustificationibus autem ipsorum magis erudior, sed *non propter hoc iustificatus sum.* 2. Sortiar bestiis mihi esse paratis et oro promptas mihi inveniri; quibus et blandiar cito me devorare, non quem ad modum quosdam timentes non tetigerunt. Sed et si ipsi volentem non velint, ego vim faciam. 3. Veniam mihi habete; quid mihi confert, ego cognosco. Nunc incipio discipulus esse; nihil me zelare visibilium et invisibilium, ut Iesu Christo fruar. Ignis et crux bestiarumque congregationes, dispersiones ossium, concisio membrorum, molitiones totius corporis, malae punitiones diaboli in me veniant, solum ut Iesu Christo fruar.

VI. Nihil mihi proderunt termini mundi neque regna saeculi huius. Bonum mihi mori propter Iesum Christum, quam regnare super terminos terrae. Illum quaero, qui pro nobis mortuus

[a] ἃ καὶ *Eus. G_2 Hilg. Lightf.* [b] *Ita Eus.*, ἕτοιμα *Caβ L.* [c] ἑκόντα *L Lightf.* [d] μηθὲν *Ca Funk.* [e] ζηλώσῃ *C.* [f] ἀνατομαί διαιρέσεις *om. L Lightf. Hilg.* [g] με G_2 *Lightf. Hilg.* [h] *Ita* LG_2S, τερπνὰ *Ca.* [i] μᾶλλον *C.* [k] *Ita L* G_2 *Lightf. Hilg.*, εἰς *C Funk Zahn.*

[1] Cfr. 1 Cor. 4, 4.

ἡμῶν ἀποθανόντα· ἐκεῖνον θέλω, τὸν δι' ἡμᾶς ἀναστάντα. Ὁ δὲ τοκετός[1] μοι ἐπίκειται. 2. Σύγγνωτέ μοι, ἀδελφοί· μὴ ἐμποδίσητέ μοι ζῆσαι, μὴ θελήσητέ με ἀποθανεῖν, τὸν τοῦ θεοῦ θέλοντα εἶναι κόσμῳ μὴ χωρίσητε[a] μηδὲ ὕλῃ ἐξαπατήσητε[b]· ἄφετέ με καθαρὸν φῶς λαβεῖν· ἐκεῖ παραγενόμενος ἄνθρωπος[c 2] ἔσομαι. 3. Ἐπιτρέψατέ μοι μιμητὴν εἶναι τοῦ πάθους τοῦ θεοῦ μου· εἴ τις αὐτὸν ἐν ἑαυτῷ ἔχει, νοησάτω, ὃ θέλω, καὶ συμπαθείτω μοι, εἰδὼς τὰ συνέχοντά με.

est; illum volo, qui propter nos resurrexit. Ille lucrum mihi adiacet. 2. Ignoscite mihi, fratres; non impediatis me vivere, non velitis me mori, dei volentem esse per mundum non separetis me neque per materiam seducatis; dimittite me purum lumen accipere; illuc adveniens homo ero. 3. Sinite me imitatorem esse passionis dei mei; si quis ipsum in se ipso habet, intellegat, quod volo, et compatiatur mihi sciens, quae continent me.

VII. Ὁ ἄρχων τοῦ αἰῶνος τούτου διαρπάσαι με βούλεται καὶ τὴν εἰς θεόν μου γνώμην διαφθεῖραι. Μηδεὶς οὖν τῶν παρόντων ὑμῶν βοηθείτω αὐτῷ· μᾶλλον ἐμοῦ γίνεσθε, τουτέστι τοῦ θεοῦ· μὴ λαλεῖτε Ἰησοῦν Χριστόν, κόσμον δὲ ἐπιθυμεῖτε. 2. Βασκανία ἐν ὑμῖν μὴ κατοικείτω. Μηδ' ἂν ἐγὼ παρὼν παρακαλῶ ὑμᾶς, πείσθητέ μοι· τούτοις δὲ μᾶλλον πείσθητε, οἷς γράφω ὑμῖν· ζῶν γὰρ γράφω ὑμῖν, ἐρῶν τοῦ ἀποθανεῖν. Ὁ ἐμὸς ἔρως[3] ἐσταύ-

VII. Princeps saeculi huius rapere me vult et eam, quae in deum meum, sententiam corrumpere. Nullus igitur praesentium de vobis adiuvet ipsi; magis autem mei fiatis, hoc est, dei mei; non loquimini Iesum Christum et mundum concupiscatis. 2. Invidia in vobis non inhabitet. Neque utique ego vos praesens deprecor credere mihi; his autem magis credite, quae scribo vobis; vivens enim scribo vobis desiderans mori. Meum

[a] *Ita Hilg. cum L, χαρίσησθε G₂ Funk, χαρήσησθε C.* [b] *κηλήσητε Hilg., μηδὲ—ἐξαπατ. om. C.* [c] *θεοῦ addit C.*

[1] i. e. partus ad vitam aeternam, qui fit per martyrium.
[2] Qui ad deum pervenit, is solus homo perfectus dicendus est.
[3] Non Christus, ut Origenes locum interpretatus est, sed cupido rerum terrestrium.

ρωται, καὶ οὐκ ἔστιν ἐν ἐμοὶ πῦρ φιλόϋλον· ὕδωρ δὲ ζῶν καὶ λαλοῦν[1] ἐν ἐμοί, ἔσωθέν μοι λέγον· Δεῦρο πρὸς τὸν πατέρα. 3. Οὐχ ἥδομαι τροφῇ φθορᾶς οὐδὲ ἡδοναῖς τοῦ βίου τούτου· ἄρτον θεοῦ θέλω, ὅ ἐστι σὰρξ Ἰησοῦ[a] Χριστοῦ, τοῦ ἐκ σπέρματος Δαυίδ, καὶ πόμα θέλω τὸ αἷμα αὐτοῦ[2], ὅ ἐστιν ἀγάπη ἄφθαρτος[b].

desiderium crucifixum est, et non est in me ignis amans aliquam aquam, sed [*melius:* amans materiae, sed aqua] vivens et loquens est in me, intus me dicit: Veni ad patrem. 3. Non delector cibo corruptionis neque delectationibus vitae huius; panem dei volo, quod est caro Christi, eius qui ex genere David, et potum volo sanguinem ipsius, quod est caritas incorruptibilis.

VIII. Οὐκέτι θέλω κατὰ ἀνθρώπους ζῆν. Τοῦτο δὲ ἔσται, ἐὰν ὑμεῖς θελήσητε· θελήσατε δέ[c], ἵνα καὶ ὑμεῖς θεληθῆτε. 2. Διὰ ὀλίγων γραμμάτων αἰτοῦμαι ὑμᾶς· πιστεύσατέ μοι. Ἰησοῦς δὲ Χριστὸς ὑμῖν ταῦτα φανερώσει, ὅτι ἀληθῶς λέγω, τὸ ἀψευδὲς στόμα, ἐν ᾧ ὁ πατὴρ ἐλάλησεν ἀληθῶς. 3. Αἰτήσασθε περὶ ἐμοῦ, ἵνα ἐπιτύχω. Οὐ κατὰ σάρκα ὑμῖν ἔγραψα, ἀλλὰ κατὰ γνώμην θεοῦ· ἐὰν πάθω, ἠθελήσατε· ἐὰν ἀποδοκιμασθῶ, ἐμισήσατε.

VIII. Non amplius volo secundum homines vivere. Hoc autem erit, si vos velitis; velite autem, ut et vos acceptemini. 2. Per paucas litteras deprecor vos; credite mihi. Iesus autem Christus manifestabit haec, quoniam vere dico, non mendax os, in quo pater vere locutus est. 3. Petite pro me, ut attingam. Non secundum carnem vobis scripsi, sed secundum sententiam dei; si patiar, voluistis; si reprobus efficiar, odivistis.

IX. Μνημονεύετε ἐν τῇ προσευχῇ ὑμῶν τῆς ἐν Συρίᾳ ἐκκλη-

IX. Mementote in oratione vestra eius, quae in Syria,

[a] τοῦ *L Lightf. Hilg.* [b] καὶ ἀένναος ζωή *addit Caβ.* [c] *Ita LS Hilg., om. C Funk Lightf. Zahn.*

[1] Spiritus sanctus, qui in ipso habitat eumque provocat ad martyrium. [2] De Christo in caelo fruendo loquitur verbis, quae de eucharistia deprompta sunt; quae in caelis mox assecuturum se esse sperat gaudia, velut cenam depingit, in qua Christi natura plene vescentur, qui in hac terra versantes aeterna quaesiverint (Zahn).

σίας, ἥτις ἀντὶ ἐμοῦ ποιμένι τῷ θεῷ χρῆται· μόνος αὐτὴν Ἰησοῦς Χριστὸς ἐπισκοπήσει καὶ ἡ ὑμῶν ἀγάπη. 2. Ἐγὼ δὲ αἰσχύνομαι ἐξ αὐτῶν λέγεσθαι· „οὐδὲ γὰρ ἄξιός εἰμι, ὢν ἔσχατος αὐτῶν καὶ ἔκτρωμα“ [1]· ἀλλ' ἠλέημαί τις εἶναι, ἐὰν θεοῦ ἐπιτύχω. 3. Ἀσπάζεται ὑμᾶς τὸ ἐμὸν πνεῦμα καὶ ἡ ἀγάπη τῶν ἐκκλησιῶν τῶν δεξαμένων με εἰς ὄνομα Ἰησοῦ Χριστοῦ, οὐχ ὡς παροδεύοντα [2]· καὶ γὰρ αἱ μὴ προσήκουσαί μοι τῇ ὁδῷ, τῇ κατὰ σάρκα, κατὰ πόλιν με προῆγον [3].

ecclesiae, quae pro me pastore deo utitur; solus ipsi Iesus Christus vice episcopi sit et vestra caritas. 2. Ego autem erubesco ex ipsis dici; non enim sum dignus exsistens extremus ipsorum et abortivum; sed misericordiam assecutus sum aliquis esse, si deo fruar. 3. Salutat vos meus spiritus et caritas ecclesiarum, quae receperunt me in nomine Iesu Christi ut non [*melius:* non ut] transeuntem; etenim non advenientes mihi in via, quae secundum carnem, secundum civitatem me praecesserunt.

X. Γράφω δὲ ὑμῖν ταῦτα ἀπὸ Σμύρνης δι' Ἐφεσίων [4] τῶν ἀξιομακαρίστων. Ἔστι δὲ καὶ ἅμα ἐμοὶ σὺν ἄλλοις πολλοῖς καὶ [a] Κρόκος, τὸ ποθητόν μοι ὄνομα. 2. Περὶ τῶν προελθόντων [b] με ἀπὸ Συρίας εἰς Ῥώμην εἰς δόξαν τοῦ θεοῦ πιστεύω ὑμᾶς ἐπεγνωκέναι, οἷς καὶ δηλώσατε ἐγγύς με ὄντα [5]· πάντες γάρ εἰσιν ἄξιοι

X. Scribo autem vobis haec a Smyrna per Ephesios digne beatos. Est autem et simul mecum cum aliis multis et Crocus, desideratum mihi nomen. 2. De advenientibus mecum a Syria in Romam ad gloriam dei credo vos cognovisse, quibus et manifestatis [*melius:* manifestate] prope me exsistentem;

[a] *om. C.* [b] *προσελθόντων LG*$_2$.

[1] 1 Cor. 15, 8. 9. [2] i. e. non ut advenam praetereuntem, sed ut familiarem. [3] Ecclesiae a via remotae de Ignatii itinere certiores factae ei obviam properaverunt salutatum (Funk). [4] Legatis Ephesiis Smyrnae hanc epistulam tradidit, quam via maritima Romam portandam curarent (Zahn). [5] Aliqui igitur suae gentis homines eum Romam antecesserunt, quos Romanis diligentissime commendat.

τοῦ θεοῦ καὶ ὑμῶν· οὓς πρέπον ὑμῖν ἐστὶ κατὰ πάντα ἀναπαῦσαι. 3. Ἔγραψα δὲ ὑμῖν ταῦτα τῇ πρὸ ἐννέα καλανδῶν Σεπτεμβρίων[a 1]. Ἔρρωσθε εἰς τέλος ἐν ὑπομονῇ Ἰησοῦ Χριστοῦ[b].

omnes enim sunt digni deo et vobis, quos deceus est, vos secundum omnia quietare. 3. Scripsi autem vobis haec in ea, quae ante IX. Kalendas Septembris. Valete in finem in sustinentia Iesu Christi.

[a] *Caβ addunt: τουτέστιν Αὐγούστου εἰκάδι τρίτῃ.* [b] *Caβ addunt: ἀμήν.*

[1] In hac sola epistula Ignatii dies adscripta est, quia Romanorum intererat scire, quando Smyrnae versatus esset, unde computarent, quo fere tempore Romam adventurus esset; ita Zahn.

III.

MARTYRIUM S. POLYCARPI EPISCOPI SMYRNAEI.

Ἡ ἐκκλησία[a] *τοῦ θεοῦ ἡ παροικοῦσα Σμύρναν τῇ ἐκκλησίᾳ τοῦ θεοῦ τῇ παροικοῦσῃ ἐν Φιλομηλίῳ*[1] *καὶ πάσαις ταῖς κατὰ πάντα τόπον τῆς ἁγίας καὶ καθολικῆς*[2] *ἐκκλησίας παροικίαις· ἔλεος, εἰρήνη καὶ ἀγάπη θεοῦ πατρὸς καὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ πληθυνθείη.*

Ecclesia dei, quae accolit Smyrnam, ecclesiae dei, quae accolit Philomelium, et omnibus ubique terrarum sanctae et catholicae ecclesiae paroeciis: misericordia, pax, caritas dei patris et domini nostri Iesu Christi multiplicetur.

I. *Ἐγράψαμεν ὑμῖν, ἀδελφοί, τὰ κατὰ τοὺς μαρτυρήσαντας καὶ*

I. Scripsimus vobis, fratres, de martyribus et de beato Poly-

[a] *Signa, quibus hac in parte usus sum, haec sunt: B codex Baroccianus seu Oxoniensis saec. XI; M cod. Mosquensis saec. XIII; P cod. Parisinus saec. X; V cod. Vindobonensis saec. XI vel XII; S cod. Hierosolymitanus saec. X; Eus. = Eusebius, Hist. eccl. IV 15, 1—48; L = versio latina vetus.*

[1] Philomelienses a Smyrnaeis petiverant, ut de martyrio s. Polycarpi ad se referrent (c. XXI 1). Erat autem Philomelium urbs Phrygiae haud procul a Lycaoniae finibus sita. Pro Philomelio in duobus codicibus graecis (BP) et in versione prisca latina Philadelphia substituta est, quae urbs c. XIX 1 commemoratur. [2] Vox catholica ecclesia hoc loco magis orthodoxam quam universam ecclesiam denotare videtur; cfr. c. XVI 2, ubi una ecclesia Smyrnaeorum catholica vocatur. Eodem sensu vox catholicus usurpatur in Fragmento Muratoriano. At apud s. Ignatium (Smyrn. VIII 2) *ἐκκλησία καθολική* intellegenda est ecclesia universa.

τὸν μακάριον Πολύκαρπον, ὅστις ὥσπερ ἐπισφραγίσας διὰ τῆς μαρτυρίας[a] αὐτοῦ κατέπαυσε τὸν διωγμόν. Σχεδὸν γὰρ πάντα τὰ προάγοντα ἐγένετο, ἵνα ἡμῖν ὁ κύριος ἄνωθεν ἐπιδείξῃ τὸ κατὰ τὸ εὐαγγέλιον μαρτύριον[1]. 2. Περιέμενε γάρ, ἵνα παραδοθῇ, ὡς καὶ ὁ κύριος, ἵνα μιμηταὶ καὶ ἡμεῖς αὐτοῦ γενώμεθα, „μὴ μόνον σκοποῦντες τὸ καθ' ἑαυτούς, ἀλλὰ καὶ τὸ κατὰ τοὺς πέλας“[2]. Ἀγάπης γὰρ ἀληθοῦς καὶ βεβαίας ἐστί, μὴ μόνον ἑαυτὸν θέλειν σώζεσθαι, ἀλλὰ καὶ πάντας τοὺς ἀδελφούς.

carpo, qui quasi signaculo martyrio suo persecutionis finem fecit. Paene enim omnia, quae praecesserunt, acta sunt, ut nobis dominus desuper ostenderet evangelicum martyrium. 2. Expectavit enim, ut traderetur, sicut et dominus, ut imitatores et nos ipsius evaderemus, *non solum considerantes nostra, sed etiam, quae ad proximos pertinent.* Caritatis enim verae et solidae est, non solum se ipsum velle servari, sed etiam omnes fratres.

II. Μακάρια μὲν οὖν καὶ γενναῖα τὰ μαρτύρια πάντα τὰ κατὰ τὸ θέλημα τοῦ θεοῦ γεγονότα· δεῖ γὰρ εὐλαβεστέρους ἡμᾶς ὑπάρχοντας τῷ θεῷ τὴν κατὰ πάντων ἐξουσίαν ἀνατιθέναι[3]. 2. Τὸ γὰρ γενναῖον αὐτῶν καὶ ὑπομονητικὸν καὶ φιλοδέσποτον τίς οὐκ ἂν θαυμάσειεν· οἳ μάστιξι μὲν καταξανθέντες, ὥστε μέχρι τῶν ἔσω φλεβῶν καὶ ἀρτηριῶν τὴν τῆς σαρκὸς οἰκονομίαν θεωρεῖσθαι,

II. Iam vero beata et generosa fuerunt cuncta martyria, quae ex voluntate dei facta sunt; oportet enim nos, qui sumus religiosiores, deo omnium rerum potentiam adscribamus. 2. Nam generositatem eorum et patientiam et erga dominum caritatem quis non admiretur, qui quidem flagris adeo lacerati, ut usque ad intimas venas et arterias corporis structura con-

[a] τῇ μαρτυρίᾳ *BPSV Hilg.*

[1] Multa, quae leguntur in evangelio de domini passione, in Polycarpi martyrium quadrant, ex. gr. nomen Herodis (c. 6) et quod Polycarpus diem supremum obiit sabbato magno (c. 21). [2] Phil. 2, 4. [3] Laus martyriorum in deum redundat, cuius virtute martyres dolores viribus humanis maiores constanter tulerunt resque saepe miras patraverunt.

ὑπέμειναν, ὡς καὶ τοὺς περιεστῶτας ἐλεεῖν καὶ ὀδύρεσθαι· τοὺς δὲ καὶ εἰς τοσοῦτον γενναιότητος ἐλθεῖν, ὥστε μήτε γρύξαι μήτε στενάξαι τινὰ αὐτῶν, ἐπιδεικνυμένους ἅπασιν ἡμῖν, ὅτι ἐκείνῃ τῇ ὥρᾳ βασανιζόμενοι τῆς σαρκὸς ἀπεδήμουν οἱ γενναιότατοι[a] μάρτυρες τοῦ Χριστοῦ, μᾶλλον δέ, ὅτι παρεστὼς ὁ κύριος ὡμίλει αὐτοῖς; 3. Καὶ προσέχοντες τῇ τοῦ Χριστοῦ χάριτι τῶν κοσμικῶν κατεφρόνουν βασάνων, διὰ μιᾶς ὥρας τὴν αἰώνιον κόλασιν ἐξαγοραζόμενοι. Καὶ τὸ πῦρ ἦν αὐτοῖς ψυχρὸν τὸ τῶν ἀπηνῶν βασανιστῶν· πρὸ ὀφθαλμῶν γὰρ εἶχον φυγεῖν τὸ αἰώνιον καὶ μηδέποτε σβεννύμενον πῦρ[b], καὶ τοῖς τῆς καρδίας ὀφθαλμοῖς ἀνέβλεπον τὰ τηρούμενα τοῖς ὑπομείνασιν ἀγαθά, „ἃ οὔτε οὖς ἤκουσεν οὔτε ὀφθαλμὸς εἶδεν οὔτε ἐπὶ καρδίαν ἀνθρώπου ἀνέβη“[1], ἐκείνοις δὲ ὑπεδείκνυτο ὑπὸ τοῦ κυρίου, οἵπερ μηκέτι ἄνθρωποι, ἀλλ' ἤδη ἄγγελοι ἦσαν. 4. Ὁμοίως δὲ καὶ εἰς τὰ θηρία κριθέντες ὑπέμειναν δεινὰς κολάσεις, κήρυκας[2] μὲν ὑποστρωννύμενοι καὶ ἄλλαις ποικίλων βασάνων ἰδέαις[c] κολαφι-

spiceretur, tamen sustinuerunt, ita ut etiam circumstantes miserarentur et plangerent, ipsi vero ad eam fortitudinem venirent, ut neque fremeret neque gemeret quisquam eorum, monstrantes omnibus nobis, illa hora, qua torquerentur, a corpore peregrinatos esse fortissimos martyres Christi, vel potius dominum adsistentem cum iis esse collocutum. 3. Atque adtendentes ad gratiam Christi terrena spernebant tormenta, cum unius horae spatio se ab aeterna poena redimerent. Frigidusque iis erat ignis immanium carnificum; ob oculos enim versabatur iis fuga aeterni illius ignis, qui nunquam exstinguitur, et oculis cordis respiciebant ad ea bona, quae reservantur tolerantibus, *quae nec auris audivit nec oculus vidit nec in cor hominis adscenderunt*, illis vero a domino monstrabantur, qui quidem non amplius homines sed angeli erant. 4. Simili autem modo etiam ad bestias condemnati gravissimos cruciatus pertulerunt, super conchas prostrati aliisque

[a] *om. BV Hilg. Lightf. Zahn.* [b] *om. BPS Funk Lightf.* [c] *ἄλλαις ποικίλαις βασάναις BPSV Hilg.*

[1] 1 Cor. 2, 9. [2] *κήρυξ* hoc loco significat: concha vel murex.

ζόμενοι[a], *ἵνα, εἰ δυνηθείη, ὁ τύραννος διὰ ἐπιμόνου κολάσεως εἰς ἄρνησιν αὐτοὺς τρέψῃ.*

III. *Πολλὰ γὰρ ἐμηχανᾶτο κατ' αὐτῶν ὁ διάβολος. Ἀλλὰ χάρις τῷ θεῷ· κατὰ πάντων*[1] *γὰρ οὐκ ἴσχυσεν. Ὁ γὰρ γενναιότατος Γερμανικὸς ἐπερρώννυεν αὐτῶν τὴν δειλίαν διὰ τῆς ἐν αὐτῷ ὑπομονῆς, ὃς καὶ ἐπισήμως ἐθηριομάχησεν. Βουλομένου γὰρ τοῦ ἀνθυπάτου πείθειν αὐτὸν καὶ λέγοντος, τὴν ἡλικίαν αὐτοῦ κατοικτεῖραι, ἑαυτῷ ἐπεσπάσατο τὸ θηρίον προσβιασάμενος*[2]*, τάχιον τοῦ ἀδίκου καὶ ἀνόμου βίου αὐτῶν ἀπαλλαγῆναι βουλόμενος.* 2. *Ἐκ τούτου οὖν πᾶν τὸ πλῆθος, θαυμάσαν τὴν γενναιότητα τοῦ θεοφιλοῦς καὶ θεοσεβοῦς γένους τῶν Χριστιανῶν, ἐπεβόησεν· Αἶρε τοὺς ἀθέους· ζητείσθω Πολύκαρπος.*

IV. *Εἷς δέ, ὀνόματι Κόϊντος, Φρύξ*[3]*, προσφάτως ἐληλυθὼς ἀπὸ τῆς Φρυγίας, ἰδὼν τὰ θηρία ἐδειλίασεν. Οὗτος δὲ ἦν ὁ παραβια-*

variorum cruciatuum generibus quasi colaphis percussi, ut si fieri posset, tyrannus assiduitate supplicii ad negationem eos adduceret.

III. Multa enim in eos machinatus est diabolus. Sed gratia deo! omnes enim non devicit. Germanicus enim, vir fortissimus, corroboravit eorum timiditatem constantia sua, quippe qui luculente cum bestiis pugnaverit. Cum enim proconsul ei persuadere vellet dicens, ut aetatis suae eum misereret, ad se bestiam attraxit eique vim fecit, citius iniusta iniquaque illorum vita exsolvi cupiens. 2. Exinde vero universa multitudo mirata fortitudinem pii ac religiosi generis Christianorum exclamavit: Tolle impios, requiratur Polycarpus!

IV. Quidam autem, nomine Quintus, natione Phryx, qui nuper ex Phrygia advenerat, cum vidisset bestias, timore perculsus

[a] *κολαζόμενοι M Hilg. Zahn.*

[1] Vertendum est: Omnes non seu neminem devicit (praeter Quintum, cfr. c. IV 1). [2] Idem s. Ignatius facere in animo habebat (ad Rom. X 2). [3] In hoc homine Phryge iam idem in martyrium ruendi ardor cernitur, qui postea Montanistarum. quae secta ipsa ex Phrygia orta est, proprius erat.

σάμενος ἑαυτόν τε καί τινας προσελθεῖν ἑκόντας. Τοῦτον ὁ ἀνθύπατος πολλὰ ἐκλιπαρήσας ἔπεισεν ὀμόσαι καὶ ἐπιθῦσαι. Διὰ τοῦτο οὖν, ἀδελφοί, οὐκ ἐπαινοῦμεν τοὺς προδιδόντας ἑαυτούς, ἐπειδὴ οὐχ οὕτως διδάσκει τὸ εὐαγγέλιον[1].

V. Ὁ δὲ θαυμασιώτατος Πολύκαρπος τὸ μὲν πρῶτον ἀκούσας οὐκ ἐταράχθη, ἀλλ' ἐβούλετο κατὰ πόλιν μένειν· οἱ δὲ πλείους ἔπειθον αὐτὸν ὑπεξελθεῖν. Καὶ ὑπεξῆλθεν εἰς ἀγρίδιον οὐ μακρὰν ἀπέχον ἀπὸ τῆς πόλεως καὶ διέτριβε μετ' ὀλίγων, νύκτα καὶ ἡμέραν οὐδὲν ἕτερον ποιῶν ἢ προσευχόμενος περὶ πάντων καὶ τῶν κατὰ τὴν οἰκουμένην ἐκκλησιῶν, ὅπερ ἦν σύνηθες αὐτῷ. 2. Καὶ προσευχόμενος ἐν ὀπτασίᾳ γέγονε πρὸ τριῶν ἡμερῶν τοῦ συλληφθῆναι αὐτόν, καὶ εἶδε τὸ προσκεφάλαιον αὐτοῦ ὑπὸ πυρὸς κατακαιόμενον· καὶ στραφεὶς εἶπε πρὸς τοὺς συνόντας[a] αὐτῷ προφητικῶς[b]· Δεῖ με ζῶντα καυθῆναι.

VI. Καὶ ἐπιμενόντων τῶν ζητούντων αὐτὸν μετέβη εἰς ἕτερον ἀγρίδιον, καὶ εὐθέως ἐπέστησαν οἱ ζητοῦντες αὐτόν· καὶ μὴ εὑ-

est. Hic erat is, qui se ipse et alios quosdam impulisset, ut ultro accederent. Huic proconsul multis precibus persuasit, ut juraret sacrificaretque. Iccirco, fratres, non laudamus eos, qui se ipsi offerunt, quia non ita docet evangelium.

V. Polycarpus vero, vir maxima admiratione dignus, primum quidem re audita perturbatus non est, sed in urbe remanere volebat; plurimi tamen ei persuaserunt, ut secederet. Et secessit in agellum, qui non multum ab urbe aberat, ubi cum paucis commoratus est die nocteque nihil aliud agens nisi orans pro omnibus hominibus et pro ecclesiis, quae sunt per orbem, quod quidem facere consuerat. 2. Et dum orat, triduo antequam comprehenderetur, visio ei obtigit viditque cervical suum incendio conflagrans. Et conversus ad eos, qui cum eo erant, prophetice: Oportet, inquit, me vivum comburi.

VI. Et cum instarent, qui eum quaerebant, in alium agellum transmigravit et continuo aderant explorantes eum; cum-

[a] τοὺς σὺν αὐτῷ *M Funk Lightf. Zahn.* [b] *om. M Funk Lightf. Zahn.*

[1] Matth. 10, 23.

ρόντες συνελάβοντο παιδάρια δύο, ὧν τὸ ἕτερον βασανιζόμενον ὡμολόγησεν. Ἦν γὰρ καὶ ἀδύνατον λαθεῖν αὐτόν, ἐπεὶ καὶ οἱ προδιδόντες αὐτὸν οἰκεῖοι ὑπῆρχον [1]. 2. Καὶ ὁ εἰρήναρχος [2] ὁ κεκληρωμένος τὸ αὐτὸ ὄνομα [3], Ἡρώδης ἐπιλεγόμενος, ἔσπευδεν εἰς τὸ στάδιον αὐτὸν εἰσαγαγεῖν, ἵνα ἐκεῖνος μὲν τὸν ἴδιον κλῆρον ἀπαρτίσῃ Χριστοῦ κοινωνὸς γενόμενος, οἱ δὲ προδόντες αὐτὸν τὴν αὐτοῦ τοῦ Ἰούδα ὑπόσχοιεν τιμωρίαν.

VII. Ἔχοντες οὖν τὸ παιδάριον τῇ παρασκευῇ [4] περὶ δείπνου ὥραν [a] ἐξῆλθον διωγμῖται καὶ ἱππεῖς μετὰ τῶν συνήθων αὐτοῖς ὅπλων „ὡς ἐπὶ λῃστὴν τρέχοντες“ [5]. Καὶ ὀψὲ τῆς ὥρας συνεπελθόντες ἐκεῖνον μὲν εὗρον ἔν τινι δωματίῳ κατακείμενον ἐν ὑπερῴῳ· κἀκεῖθεν δὲ ἠδύνατο εἰς ἕτερον χωρίον ἀπελθεῖν, ἀλλ' οὐκ

que illum non reperissent, comprehenderunt duos servulos, quorum alter, dum torquetur, confessus est. Fieri enim non poterat, ut lateret, quandoquidem proditores domestici erant. 2. Irenarcha vero, qui idem nomen sortitus erat, Herodes enim appellabatur, in stadium eum introducere maturavit, ut ille quidem suam compleret sortem Christi consors factus, proditores autem eius Iudae ipsius poenas subirent.

VII. Habentes igitur puerulum feria sexta sub horam cenae egressi sunt persecutores et equites cum consuetis armis *tamquam ad latronem currentes*. Et sero diei supervenientes illum in superiore cubiculo domunculae cuiusdam cubantem reppererunt; unde quamquam in aliud praedium abire poterat,

[a] *δείπνου ὥρᾳ PSV Hilg., δείπνου ὥραν B.*

[1] Respicit auctor ad Matth. 10, 36. Domus, cuius hospitio Polycarpus fruebatur, servi eum prodiderunt hostibus. [2] Eligebatur a praeside provinciae e decem viris per civitatem quamque designatis (Marquardt, Römische Staatsverwaltung I, Lipsiae 1873, 521 seu Lips. 1881 (ed. II), 213. [3] Nomen Herodis, quod irenarchae erat, in mentem revocavit scriptori Herodem tetrarcham, qui Iesum vinctum illusit. [4] Erravit Hilgenfeld, qui ut olim (Zeitschrift für wissenschaftl. Theologie 1874, 331squ.) sic nuper (Ignatii Antiocheni etc. epistulae, Berolini 1902, 335) hoc loco non sextum hebdomadis diem, sed diem XIV. mensis Nisan, cuicunque hebdomadis diei inciderit, notari probasse sibi videtur. [5] Matth. 26, 55.

ἠβουλήθη εἰπών· „Τὸ θέλημα τοῦ θεοῦ γενέσθω“[1]. 2. Ἀκούσας οὖν αὐτοὺς παρόντας καὶ[a] καταβὰς διελέχθη αὐτοῖς, θαυμαζόντων τῶν παρόντων τὴν ἡλικίαν αὐτοῦ καὶ τὸ εὐσταθές, καὶ εἰ[b] τοσαύτη σπουδὴ ἦν[c] τοῦ συλληφθῆναι τοιοῦτον πρεσβύτην ἄνδρα. Εὐθέως οὖν αὐτοῖς ἐκέλευσε παραθῆναι φαγεῖν καὶ πιεῖν ἐν ἐκείνῃ τῇ ὥρᾳ, ὅσον ἂν βούλωνται· ἐξητήσατο δὲ αὐτούς, ἵνα δῶσιν αὐτῷ ὥραν πρὸς τὸ προσεύξασθαι ἀδεῶς. 3. Τῶν δὲ ἐπιτρεψάντων, σταθεὶς προσηύξατο πλήρης ὢν τῆς χάριτος τοῦ θεοῦ οὕτως, ὥστε ἐπὶ δύο ὥρας μὴ δύνασθαι σιωπῆσαι καὶ ἐκπλήττεσθαι τοὺς ἀκούοντας, πολλούς τε μετανοεῖν ἐπὶ τῷ ἐληλυθέναι ἐπὶ τοιοῦτον θεοπρεπῆ πρεσβύτην.

VIII. Ἐπεὶ δέ ποτε[d] κατέπαυσε τὴν προσευχήν, μνημονεύσας ἁπάντων καὶ τῶν πώποτε συμβεβληκότων αὐτῷ, μικρῶν τε καὶ μεγάλων, ἐνδόξων τε καὶ ἀδόξων καὶ πάσης τῆς κατὰ τὴν οἰκουμένην καθολικῆς ἐκκλησίας, τῆς ὥρας ἐλθούσης τοῦ ἐξιέναι, ὄνῳ καθίσαντες αὐτὸν ἤγαγον[e]

noluit dicens: *Fiat voluntas dei.* 2. Quos postquam adesse audivit et descendit, cum illis collocutus est, mirantibus iis, qui aderant, aetatem eius et constantiam et quod tantum studium erat comprehendendi eiusmodi virum senem. Statim igitur illa hora illis apponi iussit cibum potumque, quantum vellent; petivit autem ab eis, ut darent sibi tempus ad secure orandum. 3. Quod cum concessissent, stans oravit plenus gratiae dei ita, uti per duas horas tacere nequiret et ii, qui audierunt, obstupescerent, multos etiam paeniteret, quod adversus senem tam divinum venissent.

VIII. Cum tandem precationis finem fecisset mentione facta omnium, qui unquam cum ipso congressi erant, et parvorum et magnorum, et nobilium et ignobilium totiusque per orbem terrarum catholicae ecclesiae, cumque hora proficiscendi venisset, asino eum imponentes in

[a] *om. P Funk Lightf. Zahn.* [b] *εἰ Eus. IV 15, 13 Lightf. Hilg., cfr. infra c. 16, 1; ἡ SV, ἦ Funk Zahn.* [c] *Ita SV Funk, cfr. Krüger, Griech. Sprachlehre I 65, 5, 7; ἦ B, εἴ M, ἦ Zahn.* [d] *Ita Eus. IV 15, 15 M, ὡς δὲ BPSV Hilg.* [e] *BPSV Hilg.*

[1] Act. 21, 14.

εἰς τὴν πόλιν, ὄντος σαββάτου μεγάλου[1]. 2. Καὶ ὑπήντα[a] αὐτῷ ὁ εἰρήναρχος Ἡρώδης καὶ ὁ πατὴρ αὐτοῦ Νικήτης, οἳ καὶ μεταθέντες αὐτὸν ἐπὶ τὴν καροῦχαν ἔπειθον παρακαθεζόμενοι καὶ λέγοντες· Τί γὰρ κακόν ἐστιν εἰπεῖν· Κύριος καῖσαρ, καὶ ἐπιθῦσαι καὶ τὰ τούτοις ἀκόλουθα καὶ διασώζεσθαι; Ὁ δὲ τὰ μὲν πρῶτα οὐκ ἀπεκρίνατο αὐτοῖς[b]· ἐπιμενόντων δὲ αὐτῶν, ἔφη· Οὐ μέλλω ποιεῖν, ὃ συμβουλεύετέ μοι. 3. Οἱ δὲ ἀποτυχόντες τοῦ πεῖσαι αὐτὸν δεινὰ ῥήματα ἔλεγον αὐτῷ καὶ μετὰ σπουδῆς καθῄρουν αὐτόν[c], ὡς κατιόντα ἀπὸ τῆς καρούχας ἀποσῦραι[d] τὸ ἀντικνήμιον. Καὶ μὴ ἐπιστραφείς, ὡς οὐδὲν πεπον-

urbem duxerunt die magni sabbati. 2. Et occurrit ei irenarcha Herodes et Nicetes pater eius, qui eum translatum in carrucam suam hortabantur assidentes, cum dicerent: Quidnam mali est dicere: dominus Caesar, et sacrificare et reliqua facere, quae his sunt consentanea, atque ita salvum evadere? Ille autem primum quidem nihil iis respondit; cum autem perseverarent: Facturus non sum, inquit, quod mihi suadetis. 3. Tum ei frustrati spe flectendi eum, contumeliosa ei dixerunt verba et impetu facto deturbarunt eum, ut e carruca decidens adtereret tibiam. Sed minime commotus, quasi nihil

[a] ὑπαντᾷ *PSV Hilg.* [b] αὐτούς *M Funk.* [c] αὐτόν *M*, αὐτὸν ἀπὸ τοῦ ὀχήματος *BPSV Hilg.* [d] *Ita Eus. M*, ἀποσυρῆναι *BPSV Hilg.*

[1] Interpretanda sunt neque haec verba neque c. XXI locutio σαββάτῳ μεγάλῳ de sabbato, quod nos dicimus Magnum, i. e. de vigilia paschatis; nam σάββατον μέγα hoc sensu primum occurrit apud s. Chrysostomum (Opera ed. Montfaucon V 525 squ.). Accedit, quod Asianos saeculo secundo in celebrando paschate quartodecimano ritu dies hebdomadis plane neglexisse constat. Denique auctori, si diem sabbati singulis annis semel recurrentem notare voluisset, scribendum fuisset τῷ μεγάλῳ σαββάτῳ, ut recte monuit Schürer (Zeitschrift für hist. Theologie 1870, 204). Smyrnaei igitur sabbatum illud, quo Polycarpus martyrium subiit, addendo vocem μεγάλου a reliquis anni sabbatis distinguere voluerunt; sed qua ratione iis praestiterit, inexploratum est; Lightfoot festum Iudaeorum, cui Purim nomen est, anno 155 mense Februario exeunte, quo tempore s. Polycarpus passus est, celebratum fuisse et gentiles quoque eo ipso tempore magnos ludos fecisse demonstrasse videtur.

θώς, προθύμως μετὰ σπουδῆς ἐπορεύετο ἀγόμενος εἰς τὸ στάδιον, θορύβου τηλικούτου ὄντος ἐν τῷ σταδίῳ, ὡς. μηδὲ ἀκουσθῆναί τινα δύνασθαι.

IX. Τῷ δὲ Πολυκάρπῳ εἰσιόντι εἰς τὸ στάδιον φωνὴ ἐξ οὐρανοῦ ἐγένετο· Ἴσχυε, Πολύκαρπε, καὶ ἀνδρίζου[1]. Καὶ τὸν μὲν εἰπόντα οὐδεὶς εἶδε, τὴν δὲ φωνὴν τῶν ἡμετέρων οἱ παρόντες ἤκουσαν. Καὶ λοιπὸν[a] προσαχθέντος αὐτοῦ, θόρυβος ἦν μέγας ἀκουσάντων, ὅτι Πολύκαρπος συνείληπται. 2. Δοιπὸν οὖν προσαχθέντα[b] αὐτὸν ἀνηρώτα ὁ ἀνθύπατος[2], εἰ αὐτὸς εἴη Πολύκαρπος. Τοῦ δὲ ὁμολογοῦντος, ἔπειθεν ἀρνεῖσθαι λέγων· Αἰδέσθητί σου τὴν ἡλικίαν, καὶ ἕτερα τούτοις ἀκόλουθα, ὡς ἔθος αὐτοῖς λέγειν· Ὄμοσον τὴν καίσαρος τύχην, μετανόησον, εἶπον[c 3]· Αἶρε τοὺς ἀθέους. Ὁ δὲ Πολύκαρπος ἐμβριθεῖ τῷ προσώπῳ εἰς πάντα τὸν ὄχλον τὸν ἐν τῷ σταδίῳ ἀνόμων ἐθνῶν ἐμβλέψας καὶ ἐπισείσας αὐτοῖς τὴν χεῖρα, στενάξας τε καὶ ἀναβλέψας εἰς τὸν οὐρανὸν εἶπεν· Αἶρε τοὺς ἀθέους[4]. 3. Ἐγκειμένου δὲ τοῦ

passus esset, alacriter et propere pergebat ductus in stadium; tantus autem erat in stadio tumultus, ut ne audiri quidem posset quisquam.

IX. Polycarpo vero intranti in stadium vox e caelo obtigit: Fortis esto et vir, Polycarpe! Et eum quidem, qui vocem emisit, nemo vidit, vocem autem audierunt, qui ex nostris aderant. Ceterum introducto illo magnus erat tumultus, cum Polycarpum captum esse audissent. 2. Cum in medium adductus esset, interrogavit eum proconsul, num ipse esset Polycarpus. Quo annuente hortabatur ille, ut negaret dicens: Reverere aetatem tuam, et alia hisce similia, quae istis proferre mos est: Iura per fortunam Caesaris, resipisce, conclama: Tolle impios. Tunc Polycarpus gravi vultu universam in stadio turbam sceleratorum gentilium intuitus manumque in eos porrigens simulque gemens et caelum suspiciens dixit: Tolle impios. 3. Instante vero proconsule et dicente: Iura et dimitto te,

[a] λοιπῶν *Hilg.* [b] λοιπὸν προσαχ. *BS*, λοιπὸν οὖν προσελθόντα *Eus.*, προσαχθέντα οὖν *M Funk Lightf. Zahn.* [c] *Ita M Eus.*, εἰπέ *BPSV Hilg.*

[1] Jos. 1, 6. [2] Nomen ei erat Statius Quadratus (cfr. c. 21).
[3] Rarior imperativi forma haec est. [4] Simili ironia Polycarpus

ἀνθυπάτου καὶ λέγοντος· Ὄμοσον, καὶ ἀπολύω σε, λοιδόρησον τὸν Χριστόν, ἔφη ὁ Πολύκαρπος· Ὀγδοήκοντα καὶ ἓξ ἔτη δουλεύω[a] αὐτῷ[1] καὶ οὐδέν με ἠδίκησεν· καὶ πῶς δύναμαι βλασφημῆσαι τὸν βασιλέα μου τὸν σώσαντά με;

maledic Christo, Polycarpus respondit: Octoginta et sex annos servio ei et nihil me laesit, et quomodo possum maledicere regi meo, qui salvum me fecit.

X. Ἐπιμένοντος δὲ πάλιν αὐτοῦ καὶ λέγοντος· Ὄμοσον τὴν καίσαρος τύχην, ἀπεκρίνατο· Εἰ κενοδοξεῖς, ἵνα ὀμόσω τὴν καίσαρος τύχην, ὡς σὺ λέγεις, προσποιεῖ δὲ ἀγνοεῖν με, τίς εἰμι, μετὰ παρρησίας ἄκουε· Χριστιανός εἰμι. Εἰ δὲ θέλεις τὸν τοῦ χριστιανισμοῦ μαθεῖν λόγον, δὸς ἡμέραν καὶ ἄκουσον. 2. Ἔφη ὁ ἀνθύπατος· Πεῖσον τὸν δῆμον. Ὁ δὲ Πολύκαρπος εἶπεν· Σὲ μὲν καὶ[b] λόγου ἠξίωσα· δεδιδάγμεθα γὰρ ἀρχαῖς καὶ ἐξουσίαις ὑπὸ τοῦ θεοῦ τεταγμέναις τιμὴν κατὰ

X. Urgente autem iterum illo et dicente: Iura per fortunam Caesaris, respondit: Si vanae gloriae studes, ut per fortunam Caesaris, ut tu ais, iurem, simulas autem te nescire, quis sim, palam audi: Christianus sum. Si vero christianae religionis doctrinam vis discere, da diei spatium et audi. 2. Proconsul dixit: Persuade populo. Polycarpus autem respondit: Te quidem etiam sermone dignum putavi; didicimus enim principibus et potestatibus a deo ordi-

[a] *Ita M Eus., ἔχω δουλεύων BPSV Hilg.* [b] *Ita P Eus. Hilg. Zahn, κἂν BPSV Funk.*

usus est adversus Marcionem, cui interroganti: Ἐπιγνώσκεις ἡμᾶς; respondit: Ἐπιγνώσκω τὸν πρωτότοκον τοῦ σατανᾶ (Iren., Adv. haer. III 3, 4).

[1] Ex his verbis primum efficitur, Polycarpum per annos 86 Christianum fuisse. Quod si constat, cum non minus certum sit, eum iam tenera aetate Christum cognovisse, verisimile est, eum ex parentibus Christianis natum esse. Itaque Funkio assentior, qui cum aliis (Pearson et Waddington) verba Polycarpi etiam de eius aetate intellegi posse defendit; eodem sensu etiam antiquus interpres latinus verba s. martyris accepit vertens: 'octogesimum iam et sextum annum aetatis ingredior'. S. Irenaeus tradit, Polycarpum ab apostolis eruditum esse (l. l.).

τὸ προσῆκον, τὴν μὴ βλάπτουσαν ἡμᾶς, ἀπονέμειν· ἐκείνους δὲ οὐχ ἡγοῦμαι ἀξίους τοῦ ἀπολογεῖσθαι αὐτοῖς.

XI. Ὁ δὲ ἀνθύπατος εἶπεν· Θηρία ἔχω, τούτοις σε παραβαλῶ, ἐὰν μὴ μετανοήσῃς. Ὁ δὲ εἶπεν· Κάλει, ἀμετάθετος γὰρ ἡμῖν ἡ ἀπὸ τῶν κρειττόνων ἐπὶ τὰ χείρω μετάνοια· καλὸν δὲ μετατίθεσθαι ἀπὸ τῶν χαλεπῶν ἐπὶ τὰ δίκαια. 2. Ὁ δὲ πάλιν πρὸς αὐτόν· Πυρί σε ποιήσω δαπανηθῆναι, εἰ τῶν θηρίων καταφρονεῖς, ἐὰν μὴ μετανοήσῃς. Ὁ δὲ Πολύκαρπος εἶπεν· Πῦρ ἀπειλεῖς τὸ πρὸς ὥραν καιόμενον καὶ μετ' ὀλίγον σβενύμενον· ἀγνοεῖς γὰρ τὸ τῆς μελλούσης κρίσεως καὶ αἰωνίου κολάσεως τοῖς ἀσεβέσι τηρούμενον πῦρ. Ἀλλὰ τί βραδύνεις; φέρε, ὃ βούλει.

XII. Ταῦτα δὲ καὶ ἕτερα πλείονα λέγων θάρσους καὶ χαρᾶς ἐνεπίμπλατο καὶ τὸ πρόσωπον αὐτοῦ χάριτος ἐπληροῦτο, ὥστε οὐ μόνον μὴ συμπεσεῖν ταραχθέντα ὑπὸ τῶν λεγομένων πρὸς αὐτόν, ἀλλὰ τοὐναντίον τὸν ἀνθύπατον ἐκστῆναι, πέμψαι τε τὸν ἑαυτοῦ κήρυκα ἐν μέσῳ τοῦ σταδίου κηρῦξαι τρίς· Πολύκαρπος ὡμολόγησεν ἑαυτὸν Χριστιανὸν εἶναι. 2. Τούτου λεχθέντος ὑπὸ τοῦ κήρυκος, ἅπαν τὸ πλῆθος ἐθνῶν τε καὶ

natis honorem, prout decet, nobis innocuam deferre; at illos indignos duco, quibus reddam rationem.

XI. Porro proconsul dixit: Bestias habeo, hisce te obiciam, nisi resipueris. Ille vero: Arcesse, inquit; fieri enim non potest, ut a melioribus ad deteriora convertamur; bonum autem est a malis ad iusta transire. 2. Rursus ille ad eum: Igni te tradam consumendum, quandoquidem bestias spernis, nisi resipueris. Polycarpus respondit: Ignem minaris, qui ad horae spatium ardet et brevi post exstinguitur; ignoras enim illum futuri iudicii et aeterni supplicii ignem, qui impiis reservatur. Verum quid cunctaris, profer, quodcunque volueris.

XII. Haec vero et alia complura cum diceret, fiducia et gaudio replebatur vultusque eius plenus gratiae erat, ita ut non solum non concideret conturbatus iis, quae dicta sunt ei, sed contra proconsul stupesceret suumque mitteret praeconem, qui in medio stadio ter proclamaret: Polycarpus se Christianum esse confessus est. 2. Quod ubi pronuntiavit praeco, universa multitudo gentilium ac

Ἰουδαίων[1] τῶν τὴν Σμύρναν κατοικούντων ἀκατασχέτῳ θυμῷ καὶ μεγάλῃ φωνῇ ἐπεβόα· Οὗτός ἐστιν ὁ τῆς Ἀσίας διδάσκαλος, ὁ πατὴρ τῶν Χριστιανῶν, ὁ τῶν ἡμετέρων θεῶν καθαιρέτης, ὁ πολλοὺς διδάσκων μὴ θύειν μηδὲ προσκυνεῖν[a]. Ταῦτα λέγοντες ἐπεβόων καὶ ἠρώτων τὸν Ἀσιάρχην[2] Φίλιππον, ἵνα ἐπαφῇ τῷ Πολυκάρπῳ λέοντα. Ὁ δὲ ἔφη, μὴ εἶναι ἐξὸν αὐτῷ, ἐπειδὴ πεπλήρωκει τὰ κυνηγέσια. 3. Τότε ἔδοξεν αὐτοῖς ὁμοθυμαδὸν ἐπιβοῆσαι, ὥστε τὸν Πολύκαρπον ζῶντα κατακαῦσαι[b]. Ἔδει γὰρ τὸ τῆς φανερωθείσης αὐτῷ[c] ἐπὶ τοῦ προσκεφαλαίου ὀπτασίας πληρωθῆναι, ὅτε ἰδὼν αὐτὸ καιόμε-

Iudaeorum, qui Smyrnam incolebant, effrenata ira magnaque voce conclamabat: Hic est Asiae magister, pater Christianorum, nostrorum deorum eversor, qui multos docet, ne sacrificent neve adorent. Haec dicentes clamabant rogabantque Philippum Asiarcham, ut emitteret in Polycarpum leonem. At hic id sibi licere negavit, tempore iam muneris expleto. 3. Tum placuit iis una mente conclamare, ut Polycarpus vivus cremaretur. Necesse enim erat, visionem, quae ei super cervicali apparuerat, impleri, cum inter orandum illud ardens videret et conversus ad fideles, qui cum

[a] *τοῖς θεοῖς add. BPSV Hilg.* [b] *κατακαυθῆναι BPSV Hilg.*
[c] *Ita M Eus., om. Hilg. Zahn.*

[1] Judaeos Christianae religioni infestissimos Smyrnae fuisse, etiam Apoc. 2, 9 commemorat. Quanto odio Judaei saeculis secundo et tertio in Christianos conflagraverint, optime docet Harnack (Die Mission etc., Lipsiae 1902, 38 sq.). [2] Asiarchae saepius *ἀγωνοθέται* dicti, quia ludos edere eorum erat, munere annuo fungebantur in singulis Asiae urbibus. Unus ex iis suo anno erat pontifex maximus totius provinciae Asiae seu *ἀρχιερεὺς Ἀσίας* isque praecipue cultui deae Romae et Caesaris Augusti praeerat; ergo Philippus Trallianus *ἀρχιερεὺς Ἀσίας*, qui c. 21 commemoratur, non idem est qui Philippus Asiarcha Ephesius, cuius mentio fit c. XII 2. Ita Brandis apud Pauly, Realencyklopädie (editio nova ed. Wissowa, articulus: Asiarcha). Funk econtra (cum Lightfoot I 987—998) Philippum Asiarcham eundem esse censet atque eum Philippum, qui c. XXI 2 *ἀρχιερεύς* appellatur; Asiarcham enim rectorem *τοῦ κοινοῦ τῆς Ἀσίας* seu confoederationis urbium provinciae Asiae simulque *ἀρχιερέα* seu summum pontificem fuisse. Non liquet.

νον προσευχόμενος εἶπεν ἐπιστραφεὶς τοῖς σὺν αὐτῷ πιστοῖς προφητικῶς· Δεῖ με ζῶντα καῆναι[a].

XIII. Ταῦτα οὖν μετὰ τοσούτου τάχους ἐγένετο, θᾶττον ἢ ἐλέγετο, τῶν ὄχλων παραχρῆμα συναγόντων ἔκ τε τῶν ἐργαστηρίων καὶ βαλανείων ξύλα καὶ φρύγανα, μάλιστα Ἰουδαίων προθύμως, ὡς ἔθος αὐτοῖς, εἰς ταῦτα ὑπουργούντων. 2. Ὅτε δὲ ἡ πυρκαϊὰ ἡτοιμάσθη, ἀποθέμενος ἑαυτῷ πάντα τὰ ἱμάτια καὶ λύσας τὴν ζώνην ἑαυτοῦ[b] ἐπειρᾶτο καὶ ὑπολύειν ἑαυτόν, μὴ πρότερον τοῦτο ποιῶν διὰ τὸ ἀεὶ ἕκαστον τῶν πιστῶν σπουδάζειν, ὅστις τάχιον τοῦ χρωτὸς αὐτοῦ ἅψηται· παντὶ γὰρ καλῷ[c] ἀγαθῆς ἕνεκεν πολιτείας καὶ πρὸ τῆς μαρτυρίας ἐκεκόσμητο. 3. Εὐθέως οὖν αὐτῷ περιετίθετο τὰ πρὸς τὴν πυρὰν ἡρμοσμένα ὄργανα. Μελλόντων δὲ αὐτῶν καὶ προσηλοῦν[1], εἶπεν· Ἄφετέ με οὕτως· ὁ γὰρ δοὺς ὑπομεῖναι τὸ πῦρ δώσει καὶ χωρὶς τῆς ὑμετέρας ἐκ τῶν ἥλων ἀσφαλείας ἄσκυλτον[d] ἐπιμεῖναι τῇ πυρᾷ.

eo erant, vaticinando diceret: Oportet me vivum comburi.

XIII. Haec igitur tanta celeritate acta sunt, citius quam pronuntiata, cum plebe confestim et ex officinis et ex balneis ligna sarmentaque congerente, tum Iudaeis alacri animo, ut solent, ista ministrantibus. 2. Cum autem rogus apparatus esset, detractis sibi omnibus vestimentis et cingulo suo soluto etiam excalceare se conabatur, quod prius non fecit, quia singuli semper fideles contendebant, quis celerius corpus eius tangeret; siquidem omni bono propter egregios mores etiam ante martyrium ornatus erat. 3. Illico igitur instrumentis circumdabatur, quae ad rogum faciendum coacervata erant. Cum vero clavis quoque illum adfigere vellent, dixit: Sinite me sic; qui enim dat, ut ignem sustineam, idem dabit sine vestra ex clavis cautione, ut immotus in rogo permaneam.

[a] κατακαυθῆναι *BPS Hilg.*, καυθῆναι *V.* [b] ἑαυτῷ *Eus. BS*, ἑαυτοῦ *PV*, αὐτοῦ *M*, *om. Funk Zahn.* [c] *Ita B Funk Zahn*, πράξεις γὰρ καλὰς *PSV Hilg.*, ἐν παντὶ γὰρ *Eus.*, πάσης γὰρ *M.* [d] ἀσάλευτον *BPSV Hilg.*

[1] Martyrum in rogo cremandorum nonnumquam manus clavis perforatas et lignis adfixas esse, docent etiam Acta s. Pionii c. 21.

XIV. *Οἱ δὲ οὐ καθήλωσαν μέν, προσέδησαν δὲ αὐτόν. Ὁ δὲ ὀπίσω τὰς χεῖρας ποιήσας καὶ προσδεθείς, ὥσπερ κριὸς ἐπίσημος ἐκ μεγάλου ποιμνίου εἰς προσφοράν, ὁλοκαύτωμα*[a] *δεκτὸν τῷ θεῷ ἡτοιμασμένον, ἀναβλέψας εἰς τὸν οὐρανὸν εἶπεν· Κύριε ὁ θεὸς ὁ παντοκράτωρ, ὁ τοῦ ἀγαπητοῦ καὶ εὐλογητοῦ παιδός σου Ἰησοῦ Χριστοῦ πατήρ, δι' οὗ τὴν περὶ σοῦ ἐπίγνωσιν εἰλήφαμεν, ὁ θεὸς ἀγγέλων καὶ δυνάμεων καὶ πάσης τῆς κτίσεως παντός τε τοῦ γένους τῶν δικαίων, οἳ ζῶσιν ἐνώπιόν σου· 2. Εὐλογῶ σε, ὅτι ἠξίωσάς με τῆς ἡμέρας καὶ ὥρας ταύτης, τοῦ λαβεῖν με μέρος ἐν ἀριθμῷ τῶν μαρτύρων*[b] *ἐν τῷ ποτηρίῳ τοῦ Χριστοῦ σου εἰς ἀνάστασιν ζωῆς αἰωνίου ψυχῆς τε καὶ σώματος ἐν ἀφθαρσίᾳ πνεύματος ἁγίου· ἐν οἷς προσδεχθείην ἐνώπιόν σου σήμερον ἐν θυσίᾳ*[1] *πίονι καὶ προσδεκτῇ, καθὼς προητοίμασας καὶ προεφανέρωσας καὶ ἐπλήρωσας, ὁ ἀψευδὴς καὶ ἀληθινὸς θεός. 3. Διὰ τοῦτο καὶ περὶ πάντων σὲ αἰνῶ, σὲ εὐλογῶ, σὲ δοξάζω διὰ τοῦ αἰωνίου καὶ ἐπουρανίου*[c] *ἀρχιερέως Ἰησοῦ Χριστοῦ, τοῦ*[d] *ἀγαπητοῦ σου παιδός,*

XIV. Illi ergo quamquam clavis non confixerunt, tamen alligaverunt eum. Qui manibus in tergum versis vinctus, tamquam aries insignis ex magno grege ad offerendum electus, victima acceptabilis deo praeparata, caelum intuitus: Domine deus, inquit, omnipotens, dilecti ac benedicti filii tui Iesu Christi pater, per quem tui notitiam nancti sumus, deus angelorum et virtutum et universae creaturae totiusque gentis iustorum, qui vivunt in conspectu tuo: 2. Te praedico, quod me hoc die et hac hora dignatus es, ut in numero martyrum partem haberem in calice Christi tui ad resurrectionem vitae aeternae animae et corporis in incorruptione spiritus sancti; inter quos utinam suscipiar in conspectu tuo hodie tamquam sacrificium pingue acceptumque, quemadmodum praeparasti et praemonstrasti et implevisti, deus mendacii nescius et verax. 3. Quapropter de omnibus te laudo, tibi benedico, te glorifico per sempiternum et caelestem pontificem Iesum Christum, dilectum filium tuum,

[a] *ὁλοκάρπωμα BP.* [b] *σου BPSV Hilg.* [c] *om. Eus. Hilg.* [d] *Ita Eus. M, om. Funk Lightf. Zahn.*

[1] i. e. tamquam hostia.

δι' οὗ σοὶ σὺν[a] *αὐτῷ καὶ πνεύματι ἁγίῳ ἡ δόξα καὶ νῦν καὶ εἰς τοὺς μέλλοντας αἰῶνας. Ἀμήν.*

XV. *Ἀναπέμψαντος δὲ αὐτοῦ τὸ ἀμὴν καὶ πληρώσαντος τὴν εὐχήν, οἱ τοῦ πυρὸς ἄνθρωποι ἐξῆψαν τὸ πῦρ. Μεγάλης δὲ ἐκλαμψάσης φλογός, θαῦμα εἴδομεν, οἷς ἰδεῖν ἐδόθη· οἳ καὶ ἐτηρήθημεν εἰς τὸ ἀναγγεῖλαι τοῖς λοιποῖς τὰ γενόμενα. 2. Τὸ γὰρ πῦρ καμάρας*[1] *εἶδος ποιῆσαν, ὥσπερ ὀθόνη πλοίου ὑπὸ πνεύματος πληρουμένη, κύκλῳ περιετείχισε τὸ σῶμα τοῦ μάρτυρος· καὶ ἦν μέσον οὐχ ὡς σὰρξ καιομένη, ἀλλ' ὡς ἄρτος ὀπτώμενος ἢ ὡς χρυσὸς καὶ ἄργυρος ἐν καμίνῳ πυρούμενος. Καὶ γὰρ εὐωδίας τοσαύτης ἀντελαβόμεθα, ὡς λιβανωτοῦ πνέοντος ἢ ἄλλου τινὸς τῶν τιμίων ἀρωμάτων.*

XVI. *Πέρας γοῦν ἰδόντες οἱ ἄνομοι μὴ δυνάμενον αὐτοῦ τὸ σῶμα ὑπὸ τοῦ πυρὸς δαπανηθῆναι, ἐκέλευσαν προσελθόντα αὐτῷ κομφέκτορα*[2] *παραβῦσαι ξιφίδιον. Καὶ τοῦτο ποιήσαντος,*

per quem tibi cum ipso et spiritu sancto sit gloria et nunc et in futura saecula. Amen.

XV. Postquam amen emisit precationemque complevit, ministri ignis ignem accenderunt. Ingenti vero flamma conflata, miraculum vidimus, quibus videre concessum est, qui et ideo reservati sumus, ut aliis, quae gesta sunt, nuntiaremus. 2. Ignis enim fornicis speciem praebens, tamquam navis velum vento repletum, circulo corpus martyris circumvallavit, quod quidem in medio positum non ut caro ardens videbatur, sed veluti panis coctus vel ut aurum argentumque in fornace candens. Etenim tantam odoris suavitatem percepimus, quasi thus vel aliud quoddam pretiosum aroma oleret.

XVI. Tandem quidem cum vidissent impii corpus eius igni consumi non posse, confectorem ad eum accedere pugioneque eum perfodere iusserunt. Quo facto egressa est tanta sanguinis

[a] *ἐν Eus. Hilg.*

[1] Rogus in medio aedificio erat forma ovali exstructo, sedilibus undique surgentibus; lignorum autem, quae e balneis officinisque raptim comportata sunt, quaedam aromatica et humida fuisse videntur; ita Jacobson. [2] Confectoris erat, bestias in amphitheatro conficere seu occidere, si nimis vulneratae erant vel efferatae stragem populo minabantur.

ἐξῆλθε[a][1] πλῆθος αἵματος, ὥστε κατασβέσαι τὸ πῦρ καὶ θαυμάσαι πάντα τὸν ὄχλον, εἰ τοσαύτη τις διαφορὰ μεταξὺ τῶν τε ἀπίστων καὶ τῶν ἐκλεκτῶν· 2. ὧν εἷς καὶ οὗτος γεγόνει ὁ θαυμασιώτατος μάρτυς Πολύκαρπος, ἐν τοῖς καθ' ἡμᾶς χρόνοις διδάσκαλος ἀποστολικὸς καὶ προφητικὸς γενόμενος, ἐπίσκοπος τῆς ἐν Σμύρνῃ καθολικῆς[b] ἐκκλησίας. Πᾶν γὰρ ῥῆμα, ὃ ἀφῆκεν ἐκ τοῦ στόματος αὐτοῦ, ἐτελειώθη καὶ τελειωθήσεται.

copia, ut ignem exstingueret mirareturque universa multitudo, tantum esse discrimen inter infideles et electos; 2. ex quibus unus et hic fuit Polycarpus, martyr admodum admirandus, qui nostris temporibus apostolicus et propheticus magister exstitit, episcopus catholicae ecclesiae Smyrnaeae. Omne enim dictum, quod ex ore suo protulit, impletum est atque implebitur.

XVII. Ὁ δὲ ἀντίζηλος καὶ βάσκανος καὶ πονηρός, ὁ ἀντικείμενος τῷ γένει τῶν δικαίων, ἰδὼν τό τε μέγεθος αὐτοῦ τῆς μαρτυρίας καὶ τὴν ἀπ' ἀρχῆς ἀνεπίληπτον πολιτείαν, ἐστεφανωμένον τε τὸν τῆς ἀφθαρσίας στέφανον καὶ βραβεῖον ἀναντίρρητον ἀπενηνεγμένον, ἐπετήδευσεν, ὡς μηδὲ τὸ σωμάτιον[c] αὐτοῦ ὑφ' ἡμῶν ληφθῆναι, καίπερ πολλῶν ἐπιθυμούντων τοῦτο ποιῆσαι καὶ

XVII. Sed cum aemulus ille et invidus et malus iustorumque generi adversus maiestatem martyrii eius indolemque ab ineunte aetate integram et eum corona immortalitatis coronatum praemiumque certaminis certum reportasse vidisset, enisus est, ne corpus eius a nobis auferretur, quamvis multi id facere et sancti eius corporis participes fieri

[a] *Post* ἐξῆλθε *add. omnes codd. praeter Eus.* περιστερὰ καὶ, περὶ στέρνα *coniecit Ruchat,* ἐπ' ἀριστερᾷ *Le Moine,* περὶ στύρακα *Wordsworth.* [b] ἁγίας *LM.* [c] λείψανον *BPSV Hilg., σωμ. Eus. LM.*

[1] Codices omnes praeter Eusebium addendo περιστερὰ καὶ columbae hoc loco mentionem faciunt e corpore martyris exeuntis; sed haec lectio non genuina indeque orta esse videtur, quod veteres Christiani columbam tamquam imaginem animae e corpore migrantis in epitaphiis saepe depinxerunt. Pro περιστερὰ καὶ legendum esse περὶ στύρακα (i. e. circa gladium seu hastile), coniecit Wordsworth et probavit Zahn.

κοινωνῆσαι τῷ ἁγίῳ αὐτοῦ σαρκίῳ. 2. Ὑπέβαλε γοῦν Νικήτην τὸν τοῦ Ἡρώδου πατέρα, ἀδελφὸν δὲ Ἄλκης[1], ἐντυχεῖν τῷ ἄρχοντι, ὥστε μὴ δοῦναι αὐτοῦ τὸ σῶμα· μή, φησίν, ἀφέντες τὸν ἐσταυρωμένον τοῦτον ἄρξωνται[a] σέβεσθαι. Καὶ ταῦτα εἶπον ὑποβαλλόντων καὶ ἐνισχυόντων τῶν Ἰουδαίων, οἳ καὶ ἐτήρησαν, μελλόντων ἡμῶν ἐκ τοῦ πυρὸς αὐτὸν[b] λαμβάνειν, ἀγνοοῦντες, ὅτι οὔτε τὸν Χριστόν ποτε καταλιπεῖν δυνησόμεθα, τὸν ὑπὲρ τῆς τοῦ παντὸς κόσμου τῶν σωζομένων σωτηρίας παθόντα ἄμωμον ὑπὲρ ἁμαρτωλῶν, οὔτε ἕτερόν τινα σέβεσθαι. 3. Τοῦτον μὲν γὰρ υἱὸν ὄντα τοῦ θεοῦ προσκυνοῦμεν· τοὺς δὲ μάρτυρας ὡς μαθητὰς καὶ μιμητὰς τοῦ κυρίου ἀγαπῶμεν ἀξίως ἕνεκα εὐνοίας ἀνυπερβλήτου τῆς εἰς τὸν ἴδιον βασιλέα καὶ διδάσκαλον· ὧν γένοιτο καὶ ἡμᾶς κοινωνούς τε καὶ συμμαθητὰς γενέσθαι.

cuperent. 2. Suggessit ergo Nicetae Herodis patri, fratri autem Alces, ut adiret proconsulem, ne corpus eius traderet: ne, inquit, relicto crucifixo hunc colere incipiant. Atque haec dicebant monentibus et instantibus Iudaeis, qui iidem nos observaverunt ex igne eum extracturos, nescientes, nos neque unquam Christum relinquere, qui pro salute eorum, qui toto orbe terrarum salvi fient, passus est sanctus pro peccatoribus, neque alium quemquam colere posse. 3. Illum siquidem, cum filius dei sit, adoramus; verum martyres ut discipulos imitatoresque domini merito diligimus propter eximiam in regem et magistrum suum benevolentiam; quorum utinam et nos consortes et condiscipuli fiamus!

XVIII. Ἰδὼν οὖν ὁ κεντυρίων τὴν τῶν Ἰουδαίων γενομένην φιλονεικίαν, θεὶς αὐτὸν ἐν μέσῳ, ὡς ἔθος αὐτοῖς, ἔκαυσεν. 2. Οὕ-

XVIII. Centurio igitur, cum vidisset contentionem Iudaeorum, corpus in medio positum, ut mos est illis, combussit. 2. At-

[a] ἄρξονται *codd.* [b] αὐτὸ *MS Hilg.*, τοῦτο *V.*

[1] Huius Alces scriptor mentionem non fecisset, nisi Christiana lectoribusque nota fuisset; quin eadem fuerit atque ea, quam s. Ignatius in epistulis suis Smyrnaeam salutavit (Smyrn. XIII 2, Polyc. VIII 2), vix dubium est.

τως τε ἡμεῖς ὕστερον ἀνελόμενοι τὰ τιμιώτερα[1] *λίθων πολυτελῶν καὶ δοκιμώτερα ὑπὲρ χρυσίον ὀστᾶ αὐτοῦ ἀπεθέμεθα, ὅπου καὶ ἀκόλουθον ἦν. 3. Ἔνθα ὡς δυνατὸν ἡμῖν συναγομένοις ἐν ἀγαλλιάσει καὶ χαρᾷ παρέξει ὁ κύριος ἐπιτελεῖν τὴν τοῦ μαρτυρίου αὐτοῦ ἡμέραν γενέθλιον*[2]*, εἴς τε τὴν τῶν προηθληκότων μνήμην καὶ τῶν μελλόντων ἄσκησίν τε καὶ ἑτοιμασίαν.*

XIX. *Τοιαῦτα τὰ κατὰ τὸν μακάριον Πολύκαρπον, ὃς σὺν τοῖς ἀπὸ Φιλαδελφίας δωδέκατος*[3] *ἐν Σμύρνῃ μαρτυρήσας, μόνος ὑπὸ πάντων μᾶλλον*[a] *μνημονεύεται*[4]*, ὥστε καὶ ὑπὸ τῶν ἐθνῶν ἐν παντὶ τόπῳ λαλεῖσθαι· οὐ μόνον διδάσκαλος γενόμενος ἐπίσημος, ἀλλὰ καὶ μάρτυς ἔξοχος, οὗ τὸ μαρτύριον πάντες ἐπιθυμοῦσι μιμεῖσθαι κατὰ τὸ εὐαγγέλιον Χριστοῦ γενόμενον. 2. Διὰ τῆς ὑπομονῆς γὰρ*[b] *καταγωνισάμενος τὸν ἄδικον ἄρχοντα καὶ οὕτως τὸν*

que ita nos postea ossa eius gemmis pretiosissimis exquisitiora et auro probatiora sublata, ubi congruens erat, deposuimus. 3. Quo, quantum poterimus, congregati, concedet dominus, ut in gaudio et exsultatione diem martyrii eius natalem celebremus et in memoriam eorum, qui certamine iam defuncti sunt, et in exercitationem et praeparationem posterorum.

XIX. Hactenus de beato Polycarpo, qui cum iis, qui Philadelphia orti erant, duodecimus Smyrnae martyrium passus solus ab omnibus magis commemoratur, ita ut nomen eius etiam gentilium in ore ubique locorum sit; qui non solum magister insignis exstitit, sed etiam martyr eximius, cuius martyrium evangelio Christi conveniens omnes aemulari contendunt. 2. Constantia enim iniusto praeside victo immortalitatis coronam adeptus

[a] *om. codd. praeter Eus.* [b] *om. PV et edd. praeter Hilg.*

[1] Confer c. XIII 2. Hoc testimonio vetustissimo luce clarius probatur, Christianos semper martyrum corpora maximi pretii habuisse. [2] Testimonium huius locutionis antiquius non exstat; attamen sententiam, unde orta est, s. Ignatius praeclare expressit in epistula ad Romanos c. VI; ita Zahn. [3] Undecim igitur alii, inter quos nonnulli Philadelphenses erant, eodem fere tempore martyrium subierunt. [4] i. e. de uno Polycarpo saepius sermo fit quam de undecim reliquis.

τῆς ἀφθαρσίας στέφανον ἀπολαβών, σὺν τοῖς ἀποστόλοις καὶ πᾶσι δικαίοις ἀγαλλιώμενος δοξάζει τὸν θεὸν καὶ πατέρα παντοκράτορα[a] καὶ εὐλογεῖ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστόν, τὸν σωτῆρα τῶν ψυχῶν ἡμῶν καὶ κυβερνήτην τῶν σωμάτων ἡμῶν καὶ ποιμένα τῆς κατὰ τὴν οἰκουμένην καθολικῆς ἐκκλησίας.

cum apostolis omnibusque iustis exsultans deum ac patrem omnipotentem glorificat celebratque dominum nostrum Iesum Christum, vindicem animarum nostrarum gubernatoremque corporum nostrorum nec non pastorem ecclesiae in toto orbe terrarum catholicae.

XX. Ὑμεῖς μὲν οὖν ἠξιώσατε διὰ πλειόνων δηλωθῆναι ὑμῖν τὰ γενόμενα· ἡμεῖς δὲ κατὰ τὸ παρὸν ἐπὶ κεφαλαίῳ μεμηνύκαμεν διὰ τοῦ ἀδελφοῦ ἡμῶν Μαρκίωνος[1]. Μαθόντες οὖν ταῦτα καὶ τοῖς ἐπέκεινα ἀδελφοῖς τὴν ἐπιστολὴν διαπέμψασθε, ἵνα καὶ ἐκεῖνοι δοξάζωσι τὸν κύριον τὸν ἐκλογὰς ποιοῦντα ἀπὸ τῶν ἰδίων δούλων. 2. Τῷ δὲ δυναμένῳ[b] πάντας ἡμᾶς εἰσαγαγεῖν ἐν τῇ αὐτοῦ χάριτι καὶ δωρεᾷ εἰς τὴν αἰώνιον αὐτοῦ βασιλείαν διὰ τοῦ παιδὸς αὐτοῦ τοῦ μονογενοῦς Ἰησοῦ Χριστοῦ[c] ἡ δόξα, τιμή, κράτος, μεγαλωσύνη εἰς τοὺς αἰῶνας[2]. Προσαγορεύετε πάντας τοὺς ἁγίους· ὑμᾶς οἱ σὺν ἡμῖν προσαγορεύουσι καὶ Εὐάρεστος ὁ γράψας πανοικεί.

XX. Ac vos quidem petieratis, ut ea, quae gesta sunt, pluribus vobis exponerentur verbis; nos vero in praesentia summatim adumbravimus per Marcionem fratrem nostrum. Quae cum legeritis, etiam fratribus remotioribus epistulam transmittatis, ut et illi glorificent dominum ex suis famulis delectum facientem. 2. Ei vero, qui omnes nos gratia sua et liberalitate in aeternum regnum suum per Iesum Christum filium suum unigenitum ducere potest, gloria, honor, virtus, maiestas sit in saecula! Salutate omnes sanctos. Salutant vos, qui nobiscum sunt, et qui scripsit haec Evarestus cum omni sua familia.

[a] *om. BPSV Hilg.* [b] *τὸν δὲ δυνάμενον S Hilg.* [c] *ᾧ add. BPS Funk.*

[1] Smyrnaei igitur Marcioni epistulam conscribendam commiserunt. [2] Scriptor hoc loco s. Paulum (Rom. 16, 25—27) imitatus esse videtur.

XXI. *Μαρτυρεῖ δὲ ὁ μακάριος Πολύκαρπος μηνὸς Ξανθικοῦ*[1] *δευτέρᾳ ἱσταμένου, πρὸ ἑπτὰ καλανδῶν Μαρτίων*[a]*, σαββάτῳ μεγάλῳ*[2]*, ὥρᾳ ὀγδόῃ. Συνελήφθη*[b] *ὑπὸ Ἡρώδου ἐπὶ ἀρχιερέως Φιλίππου Τραλλιανοῦ*[3]*, ἀνθυπατεύοντος Στατίου Κοδράτου, βασιλεύοντος δὲ εἰς τοὺς αἰῶνας τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ· ᾧ ἡ δόξα, τιμή, μεγαλωσύνη, θρόνος αἰώνιος ἀπὸ γενεᾶς εἰς γενεάν. Ἀμήν.*

XXI. Martyr autem occubuit beatus Polycarpus Xanthici mensis iueuntis die secundo, a. d. VII. Kal. Martias, sabbato magno, hora octava. Comprehensus est ab Herode, Philippo Tralliano pontifice maximo, Statio Quadrato proconsule, regnante autem in saecula domino nostro Iesu Christo, cui sit gloria, honor, maiestas, thronus sempiternus a generatione in generationem. Amen.

XXII. [*Ἐρρῶσθαι*[c] *ὑμᾶς εὐχόμεθα, ἀδελφοί, στοιχοῦντας τῷ κατὰ τὸ εὐαγγέλιον λόγῳ Ἰησοῦ Χριστοῦ, μεθ' οὗ δόξα τῷ θεῷ καὶ πατρὶ καὶ ἁγίῳ πνεύματι ἐπὶ σωτηρίᾳ τῇ τῶν ἁγίων ἐκλεκτῶν· καθὼς ἐμαρτύρησεν ὁ μακάριος Πολύκαρπος, οὗ γένοιτο ἐν τῇ βασιλείᾳ Ἰησοῦ Χριστοῦ πρὸς τὰ ἴχνη εὑρεθῆναι ἡμᾶς.*

XXII. Ut valeatis, fratres, optamus, secuti evangelicum sermonem Iesu Christi, quocum gloria sit deo et patri et spiritui sancto ob salutem sanctorum electorum; quemadmodum martyr evasit beatus Polycarpus, cuius vestigia secuti utinam inveniamur in regno Iesu Christi.

[a] *μαίων BS Hilg., ἀπριλίων Chron. pasch.* [b] *δὲ add. S Funk.* [c] *cfr. Prolegomena p. 4.*

[1] Mensis Xanthicus sextus fuit anni macedonici et initium faciebat die 22. Februarii (Ideler, Handbuch der Chronologie I 419. 423); dies igitur Xanthici secundus fuit dies 23. mensis Februarii, eoque die ecclesia orientalis natalicia s. Polycarpi semper celebravit.

[2] Confer, quae supra ad c. VIII 2 de sabbato magno a me disputata sunt. [3] De hoc Philippo Tralliano cfr. quae supra ad c. XII 2 attuli. Commemoratur in titulo, qui positus annis 149—152 publicatus est a Dittenberger in Archäologische Zeitung vol. 38 (1880) p. 62: *Ἡ Ὀλυμπι[κὴ] βουλὴ Γ(άϊον) Ἰούλιο[ν] Φίλιππον Τραλλιανὸν τὸν Ἀσιάρχην ἡθῶν ἕνεκα, ὀλυμπιάδι σλβ'.*

2. *Ταῦτα μετεγράψατο μὲν Γάϊος ἐκ τῶν Εἰρηναίου, μαθητοῦ τοῦ Πολυκάρπου, ὃς καὶ συνεπολιτεύσατο τῷ Εἰρηναίῳ. Ἐγὼ δὲ Σωκράτης ἐν Κορίνθῳ ἐκ τῶν Γαΐου ἀντιγράφων ἔγραψα. Ἡ χάρις μετὰ πάντων.*

2. Haec ex codice Irenaei, discipuli Polycarpi, descripsit Caius, qui et ipse cum Irenaeo conversatus est. Ego vero Socrates Corinthi ex Cai exemplari scripsi. Gratia sit cum omnibus.

3. *Ἐγὼ δὲ πάλιν Πιόνιος ἐκ τοῦ προγεγραμμένου ἔγραψα ἀναζητήσας αὐτά, κατὰ ἀποκάλυψιν φανερώσαντός μοι τοῦ μακαρίου Πολυκάρπου, καθὼς δηλώσω ἐν τῷ καθεξῆς· συναγαγὼν αὐτὰ ἤδη σχεδὸν ἐκ τοῦ χρόνου κεκμηκότα, ἵνα κἀμὲ συναγάγῃ ὁ κύριος Ἰησοῦς Χριστὸς μετὰ τῶν ἐκλεκτῶν αὐτοῦ εἰς τὴν οὐράνιον βασιλείαν αὐτοῦ, ᾧ ἡ δόξα σὺν*[a] *πατρὶ καὶ*[b] *ἁγίῳ πνεύματι εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν*[1].]

3. Porro ego Pionius ex suprascriptis exaravi, postquam perquisivi et beatus Polycarpus per revelationem mihi manifestavit, ut in sequentibus declarabo. Collegi ea iam paene temporis diuturnitate fatiscentia, ut et me colligat dominus Iesus Christus in regnum suum caeleste, cui sit gloria cum patre et spiritu sancto in saecula saeculorum. Amen.

[a] *τῷ addunt S Funk.* [b] *τῷ add. S.*

[1] Amplior sed recentior epilogus legitur in codice Mosquensi, quem, si libet, videsis in editionibus Funkii et Zahnii.

IV.

CAPITA SELECTA EX PATRIBUS APOSTOLICIS CETERIS.

a. Ex Barnabae epistula.

c. X 4—9. *Circumcisionis allegorica interpretatio.*

Ἀλλὰ καὶ ἡ περιτομή, ἐφ' ᾗ πεποίθασι, κατήργηται. Περιτομὴν γὰρ εἴρηκεν οὐ σαρκὸς γενηθῆναι; ἀλλὰ παρέβησαν[1], ὅτι ἄγγελος πονηρὸς ἐσόφιζεν αὐτούς. 5. Λέγει πρὸς αὐτούς· „Τάδε λέγει κύριος ὁ θεὸς ὑμῶν“ (ὧδε εὑρίσκω ἐντολήν)· „Μὴ σπείρητε ἐπ' ἀκάνθαις, περιτμήθητε τῷ κυρίῳ ὑμῶν“[2]. Καὶ τί λέγει; „Περιτμήθητε τὴν σκληροκαρδίαν ὑμῶν καὶ τὸν τράχηλον ὑμῶν οὐ σκληρυνεῖτε“[3]. Λάβε πάλιν· „Ἰδού, λέγει κύριος, πάντα τὰ ἔθνη ἀπερίτμητος καρδίᾳ“[4].

6. Ἀλλ' ἐρεῖς· Καὶ μὴν περιτέτμηται ὁ λαὸς εἰς σφραγῖδα. Ἀλλὰ καὶ πᾶς Σύρος καὶ Ἄραψ

Sed et circumcisio, cui confidunt, abrogata est. Circumcisionem enim non carnis fieri iussit; sed transscenderunt (mandatum), quia angelus malus decepit eos. 5. Dicit ad eos: *Haec dicit dominus deus vester* (hic invenio mandatum): *Nolite serere super spinas, circumcidimini domino vestro.* Et quid dicit? *Circumcidite duritiam cordis vestri et cervicem vestrum ne induretis.* Accipe aliud: *Omnes gentes incircumcisae sunt praeputio, populus autem hic incircumcisus est corde.* 6. Sed dices: Nimirum circumcisus est populus ille in

[1] Iudaei mandatum dei transgressi sunt carnali circumcisione instituenda, quam deus noluerat fieri. [2] 1 Jer. 4, 3. 4. [3] Deut. 10, 16. [4] Jer. 9, 26.

καὶ πάντες οἱ ἱερεῖς τῶν εἰδώλων· ἆρα οὖν κἀκεῖνοι ἐκ τῆς διαθήκης αὐτῶν εἰσιν. Ἀλλὰ καὶ οἱ Αἰγύπτιοι ἐν περιτομῇ εἰσιν. 7. Μάθετε οὖν, τέκνα ἀγάπης, περὶ πάντων πλουσίως, ὅτι Ἀβραὰμ πρῶτος περιτομὴν δοὺς ἐν πνεύματι προβλέψας εἰς τὸν Ἰησοῦν περιέτεμε, λαβὼν τριῶν γραμμάτων δόγματα. 8. Λέγει γάρ· „Καὶ περιέτεμεν Ἀβραὰμ ἐκ τοῦ οἴκου αὐτοῦ ἄνδρας δεκαοκτὼ καὶ τριακοσίους“[1]. Τίς οὖν ἡ δοθεῖσα αὐτῷ γνῶσις; Μάθετε, ὅτι τοὺς δεκαοκτὼ πρώτους, καὶ διάστημα ποιήσας λέγει τριακοσίους. Τὸ δεκαοκτώ· ἰῶτα δέκα, ἦτα ὀκτώ· ἔχεις Ἰησοῦν. Ὅτι δὲ ὁ σταυρὸς ἐν τῷ ταῦ ἤμελλεν ἔχειν τὴν χάριν, λέγει καὶ τοὺς τριακοσίους. Δηλοῖ οὖν τὸν μὲν Ἰησοῦν ἐν τοῖς δυσὶ γράμμασι καὶ ἐν τῷ ἑνὶ τὸν σταυρόν[2]. 9. Οἶδεν ὁ τὴν ἔμφυτον δωρεὰν τῆς διδαχῆς αὐτοῦ θέμενος ἐν ἡμῖν. Οὐδεὶς γνησιώτερον ἔμαθεν ἀπ' ἐμοῦ λόγον· ἀλλὰ οἶδα, ὅτι ἄξιοί ἐστε ὑμεῖς.

signum (foederis). Verum et omnis Syrus et Arabs et cuncti sacerdotes idolorum. Ergo et illi ex foedere eorum sunt. Iam vero etiam Aegyptii circumcisionem habent. 7. Discite igitur, filii dilectionis, de omnibus abunde, Abraham, qui primus circumcisionem dedit, in spiritu prospicientem in Iesum circumcidisse, accepta trium litterarum doctrina. 8. Scriptum enim est: *Et circumcidit Abraham e domo sua decem et octo et trecentos viros.* Quae igitur cognitio ei data est? Discite, eum decem et octo dicere primos et intervallo facto trecentos. Decem et octo sunt: ι decem, η octo; habes Iesum. Quod vero crux in littera τ habitura erat gratiam, addit etiam trecentos. Significat igitur Iesum in duabus litteris et in una crucem. 9. Intellegit, qui insitum doctrinae suae munus in nobis posuit. Nemo veriorem didicit a me rationem; sed scio vos dignos esse.

[1] Gen. 17, 23, 27. [2] Habemus hoc loco interpretationis allegoricae, qualis maxime apud Alexandrinos vigebat, illustre exemplum. Trecenti decem et octo (τ ιη) servi Abraham secundum hunc scriptorem Christum in cruce pendentem portendunt.

c. XV. *Verum sabbatum est quies sanctorum in fine mundi instans.*

Ἔτι οὖν καὶ περὶ τοῦ σαββάτου γέγραπται ἐν τοῖς δέκα λόγοις, ἐν οἷς ἐλάλησεν ἐν τῷ ὄρει Σινᾶ πρὸς Μωϋσῆν κατὰ πρόσωπον· „Καὶ ἁγιάσατε τὸ σάββατον κυρίου“[1] χερσὶ καθαραῖς καὶ καρδίᾳ καθαρᾷ. 2. Καὶ ἐν ἑτέρῳ λέγει· „Ἐὰν φυλάξωσιν οἱ υἱοί μου τὸ σάββατον, τότε ἐπιθήσω τὸ ἔλεός μου ἐπ' αὐτούς“[2]. 3. Τὸ σάββατον λέγει ἐν ἀρχῇ τῆς κτίσεως· „Καὶ ἐποίησεν ὁ θεὸς ἐν ἓξ ἡμέραις τὰ ἔργα τῶν χειρῶν αὐτοῦ καὶ συνετέλεσεν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ καὶ κατέπαυσεν ἐν αὐτῇ καὶ ἡγίασεν αὐτήν“[3]. 4. Προσέχετε, τέκνα, τί λέγει τὸ „συνετέλεσεν ἐν ἓξ ἡμέραις“. Τοῦτο λέγει, ὅτι ἐν ἑξακισχιλίοις ἔτεσι συντελέσει κύριος τὰ σύμπαντα· ἡ γὰρ ἡμέρα παρ' αὐτῷ σημαίνει χίλια ἔτη. Αὐτὸς δέ μοι μαρτυρεῖ λέγων· „Ἰδού, ἡμέρα κυρίου ἔσται ὡς χίλια ἔτη“[4]. Οὐκοῦν, τέκνα, ἐν ἓξ ἡμέραις, ἐν τοῖς ἑξακισχιλίοις ἔτεσι, συντελεσθήσεται τὰ σύμπαντα.

Iam vero etiam de sabbato scriptum est in decem praeceptis, in quibus locutus est in monte Sina coram Moyse: *Et sanctificate sabbatum domini* manibus mundis et corde mundo. 2. Et alio loco dicit: *Si custodierint filii mei sabbatum, tum ponam misericordiam meam super illis.* De sabbato loquitur in principio creationis: *Fecitque deus in sex diebus opera manuum suarum complevitque die septimo et requievit eo et sanctificavit eum.* 4. Attendite filii, quid dicat: *Complevit in sex diebus.* Id dicit, in sex milibus annorum consummaturum esse dominum omnia; dies enim apud eum significat mille annos. Ipse autem mihi testatur dicens: *Ecce dies domini erit tanquam mille anni.* Itaque, filii, in sex diebus, in sex milibus annorum, consummabuntur omnia.

5. „Καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ“ τοῦτο λέγει· ὅταν ἐλθὼν ὁ υἱὸς αὐτοῦ καταργήσει τὸν καιρὸν

5. *Et requievit die septimo* hoc significat: Quando filius eius veniens tempus nefarii

[1] Exod. 20, 8. [2] Jer. 17, 24. [3] Gen. 2, 2. [4] Ps. 89, 4.

τοῦ ἀνόμου καὶ κρινεῖ τοὺς ἀσεβεῖς καὶ ἀλλάξει τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας, τότε καλῶς καταπαύσεται ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ. 6. Πέρας γέ τοι λέγει· „Ἁγιάσεις αὐτὴν χερσὶ καθαραῖς καὶ καρδίᾳ καθαρᾷ“[1]. Εἰ οὖν ἦν ὁ θεὸς ἡμέραν ἡγίασε, νῦν τις δύναται ἁγιάσαι καθαρὸς ὢν τῇ καρδίᾳ, ἐν πᾶσι πεπλανήμεθα. 7. Ἴδε, ὅτι ἄρα τότε καλῶς καταπαυόμενοι ἁγιάσομεν αὐτήν, ὅτε δυνησόμεθα αὐτοὶ δικαιωθέντες καὶ ἀπολαβόντες τὴν ἐπαγγελίαν, μηκέτι οὔσης τῆς ἀνομίας, καινῶν δὲ γεγονότων πάντων ὑπὸ κυρίου· τότε δυνησόμεθα αὐτὴν ἁγιάσαι, αὐτοὶ ἁγιασθέντες πρῶτον[2].

8. Πέρας γέ τοι λέγει αὐτοῖς· „Τὰς νεομηνίας ὑμῶν καὶ τὰ σάββατα οὐκ ἀνέχομαι“[3]. Ὁρᾶτε, πῶς λέγει· οὐ τὰ νῦν σάββατα ἐμοὶ δεκτά, ἀλλὰ ὃ πεποίηκα, ἐν ᾧ καταπαύσας τὰ πάντα ἀρχὴν ἡμέρας ὀγδόης ποιήσω, ὅ ἐστιν, ἄλλου κόσμου ἀρχήν. 9. Διὸ καὶ ἄγομεν τὴν ἡμέραν τὴν ὀγδόην εἰς εὐφροσύνην, ἐν ᾗ καὶ ὁ Ἰη-

abolebit impiosque iudicabit et solem lunam stellas mutabit, tunc pulchre requiescet die septimo. 6. Postremo: *Sanctificabis*, inquit, *eum manibus mundis et corde mundo*. Quod si quis, quem diem deus sanctificavit, nunc sanctificare potest mundus corde, in omnibus rebus aberravimus. 7. Vide nos tum demum pulchre quiescentes eum sanctificaturos esse, cum ipsi iustificati et promissionem consecuti poterimus, non iam exstante iniquitate restauratisque omnibus a domino; tum eum sanctificare poterimus, ipsi sanctificati antea.

8. Postremo vero illis dicit: *Novilunia vestra et sabbata non fero*. Videte quomodo dicat; non sabbata, quae nunc sunt, mihi accepta sunt, sed quod feci, quo omnia evertens initium octavi diei faciam, id est, alterius mundi initium. 9. Itaque etiam octavum diem in laetitia agimus, quo et Iesus resurrexit a mor-

[1] Haec verba non leguntur in scriptura sacra iis locis, ubi de sabbato agitur. [2] Haec omnia chiliasmum seu regnum millennarium Christi redolent. Etiam s. Irenaeus (Adv. haer. V 23, 2) et Lactantius (Instit. div. VII 14squ.) septem dies creationis de septem millenniis mundi interpretati sunt. [3] Is. 1, 13

σοῦς ἀνέστη ἐκ νεκρῶν καὶ φανερωθεὶς ἀνέβη εἰς οὐρανούς[1].

tuis et manifestatus adscendit ad caelos.

b. Ex s. Clementis epist. I. ad Corinthios.

c. V. *De martyrio ss. Petri et Pauli.*

Ἀλλ' ἵνα τῶν ἀρχαίων ὑποδειγμάτων παυσώμεθα, ἔλθωμεν ἐπὶ τοὺς ἐγγιστα γενομένους ἀθλήτας· λάβωμεν τῆς γενεᾶς ἡμῶν τὰ γενναῖα ὑποδείγματα. 2. Διὰ ζῆλον καὶ φθόνον οἱ μέγιστοι καὶ δικαιότατοι στύλοι ἐδιώχθησαν καὶ ἕως θανάτου ἤθλησαν. 3. Λάβωμεν πρὸ ὀφθαλμῶν ἡμῶν τοὺς ἀγαθοὺς ἀποστόλους· 4. Πέτρον, ὃς διὰ ζῆλον ἄδικον οὐχ ἕνα οὐδὲ δύο ἀλλὰ πλείονας ὑπήνεγκε πόνους καὶ οὕτω μαρτυρήσας ἐπορεύθη εἰς τὸν ὀφειλόμενον τόπον τῆς δόξης. 5. Διὰ ζῆλον καὶ ἔριν Παῦλος ὑπομονῆς βραβεῖον ἔδειξεν· 6. ἑπτάκις δεσμὰ φορέσας[2], φυγαδευθείς, λιθασθείς, κῆρυξ γενόμενος ἔν τε τῇ ἀνατολῇ καὶ ἐν τῇ δύσει, τὸ γενναῖον τῆς πίστεως αὐτοῦ κλέος ἔλαβεν·

Sed ut vetera exempla omittamus, veniamus ad athletas proximos; proponamus aevi nostri nobilia exempla. 2. Propter zelum et invidiam, qui maximae et iustissimae columnae erant, persecutionem passi sunt et usque ad mortem certaverunt. 3. Ponamas ante oculos nostros bonos apostolos: 4. Petrum, qui propter zelum iniquum non unum vel alterum, sed plures labores tulit et ita confessus abiit in debitum locum gloriae. 5. Propter zelum et contentionem Paulus patientiae praemium meruit; 6. septiens in vincula coniectus, fugatus, lapidatus, praeco factus et in oriente et in occidente, inlustrem fidei suae famam sortitus est; 7. qui postquam iu-

[1] Auctor die dominica non solum dominum a mortuis resurrexisse, sed etiam ad caelos adscendisse putat. Similiter Doctrina XII apostolorum syriaca (Cureton, Ancient syriac documents, p. 26) dominum prima hebdomadis die ad caelos adscendisse dicit (c. 2) et praecipit (c. 9), ut commemoratio adscensionis domini die quinquagesima post resurrectionem celebretur. [2] Septiens se vincula tulisse nec Paulus ipse testatur (2 Cor. 11, 22 squ.) nec Lucas in Actis apostolorum.

7. δικαιοσύνην διδάξας ὅλον τὸν κόσμον καὶ ἐπὶ τὸ τέρμα τῆς δύσεως[1] ἐλθὼν καὶ μαρτυρήσας ἐπὶ τῶν ἡγουμένων, οὕτως ἀπηλλάγη τοῦ κόσμου καὶ εἰς τὸ ἅγιον τόπον ἐπορεύθη, ὑπομονῆς γενόμενος μέγιστος ὑπογραμμός.

stitiam docuit universum mundum et ad occidentis terminum pervenit et coram praefectis martyrium passus est, ita saeculo liberatus ad sanctum locum migravit, patientiae factus maximum exemplum.

c. XXV. *De ave phoenice resurrectionis nostrae imagine.*

Ἴδωμεν τὸ παράδοξον σημεῖον τὸ γινόμενον ἐν τοῖς ἀνατολικοῖς τόποις, τουτέστι τοῖς περὶ τὴν Ἀραβίαν. 2. Ὄρνεον γάρ ἐστιν, ὃ προσονομάζεται φοίνιξ[2]· τοῦτο μονογενὲς ὑπάρχον ζῇ ἔτη πεντακόσια, γενόμενόν τε ἤδη πρὸς ἀπόλυσιν τοῦ ἀποθανεῖν αὐτό, σηκὸν ἑαυτῷ ποιεῖ ἐκ λιβάνου καὶ σμύρνης καὶ τῶν λοιπῶν ἀρωμάτων, εἰς ὃν πληρωθέντος τοῦ χρόνου εἰσέρχεται καὶ τελευτᾷ. 3. Σηπομένης δὲ τῆς σαρκὸς σκώληξ τις γεννᾶται, ὃς ἐκ τῆς ἰκμάδος τοῦ τετελευτηκότος ζώου ἀνατρεφόμενος πτεροφυεῖ· εἶτα γενναῖος γενόμενος αἴρει τὸν σηκὸν ἐκεῖνον, ὅπου τὰ ὀστᾶ τοῦ προγεγονότος ἐστί, καὶ ταῦτα βαστάζων διανύει ἀπὸ τῆς Ἀραβικῆς χώρας ἕως τῆς Αἰγύπτου εἰς τὴν λεγο-

Videamus admirabile signum, quod in partibus orientis exsistit, quae sunt circa Arabiam. 2. Avis enim est, quae phoenix vocatur; haec unigena annos quingentos vivit, et cum iam in eo est, ut morte dissolvatur, loculum sibi struit e thure, myrrha, reliquis aromatibus, in quem completo tempore ingreditur et moritur. 3. Ex putrescente autem carne vermis quidam nascitur, qui umore animalis defuncti alitur et plumas gignit; deinde auctis viribus loculum illum, ubi ossa parentis recondita sunt, tollit eaque portans ex Arabiae regione in Aegyptum in urbem, quae dicitur Heliopolis, iter facit, 4. atque interdiu, spectantibus omnibus, advolans in ara solis

[1] De Hispania loquitur, quam in terram et Paulus pervenire voluit (Rom. 15, 28) et eum pervenisse fragmentum Muratorianum refert. [2] De phoenicis fabula confer Lactantii carmen: De ave phoenice, et Kraus, Real-Encyklopädie II 622—624.

μένην Ἡλιούπολιν, 4. καὶ ἡμέρας βλεπόντων πάντων, ἐπιπτὰς ἐπὶ τὸν τοῦ ἡλίου βωμὸν τίθησιν αὐτὰ καὶ οὕτως εἰς τοὐπίσω ἀφορμᾶ. 5. Οἱ οὖν ἱερεῖς ἐπισκέπτονται τὰς ἀναγραφὰς τῶν χρόνων καὶ εὑρίσκουσιν αὐτὸν πεντακοσιοστοῦ ἔτους πεπληρωμένου ἐληλυθέναι.

ea deponit et ita, unde venerat, regreditur. 5. Sacerdotes vero annales inspiciunt eamque completo quingentesimo anno venisse reperiunt.

c. XLII 1. 2. 4 et c. XLIV. *Episcopos et diaconos a deo ordinatos a plebe munere deici nefas est.*

Οἱ ἀπόστολοι ἡμῖν εὐηγγελίσθησαν ἀπὸ τοῦ κυρίου Ἰησοῦ Χριστοῦ, Ἰησοῦς δὲ Χριστὸς ἀπὸ τοῦ θεοῦ ἐξεπέμφθη. 2. Ὁ Χριστὸς οὖν ἀπὸ τοῦ θεοῦ καὶ οἱ ἀπόστολοι ἀπὸ τοῦ Χριστοῦ· ἐγένοντο οὖν ἀμφότερα εὐτάκτως ἐκ θελήματος θεοῦ. 4. [Οἱ ἀπόστολοι] κατὰ χώρας οὖν καὶ πόλεις κηρύσσοντες καθίστανον τὰς ἀπαρχὰς αὐτῶν, δοκιμάσαντες τῷ πνεύματι, εἰς ἐπισκόπους καὶ διακόνους τῶν μελλόντων πιστεύειν.

Apostoli nobis evangelii praecones constituti sunt a domino Iesu Christo, Iesus Christus autem a deo missus est. 2. Christus igitur a deo et apostoli a Christo; factum est utrumque bene et composite ex voluntate dei. 4. Atqui [apostoli] per provincias et urbes praedicantes primitias earum, quas spiritu probaverant, episcopos et diaconos eorum constituerunt, qui crediturus erant.

XLIV. Καὶ οἱ ἀπόστολοι ἡμῶν ἔγνωσαν διὰ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅτι ἔρις ἔσται ἐπὶ τοῦ ὀνόματος τῆς ἐπισκοπῆς. 2. Διὰ ταύτην οὖν τὴν αἰτίαν πρόγνωσιν εἰληφότες τελείαν κατέστησαν τοὺς προειρημένους καὶ μεταξὺ ἐπινομὴν[1] δεδώκασιν,

XLIV. Et apostoli nostri per dominum nostrum Iesum Christum cognoverunt contentionem orituram esse de nomine episcopatus; 2. eamque ob causam futura plane providentes instituerunt eos, quos ante diximus, sanxeruntque deinceps, ut, si

[1] Ita codex Alexandrinus; in codice vero Constantinopolitano

ὅπως, ἐὰν κοιμηθῶσι[1], διαδέξωνται ἕτεροι δεδοκιμασμένοι ἄνδρες τὴν λειτουργίαν αὐτῶν. 3. Τοὺς οὖν κατασταθέντας ὑπ' ἐκείνων ἢ μεταξὺ[2] ὑφ' ἑτέρων ἐλλογίμων ἀνδρῶν συνευδοκησάσης τῆς ἐκκλησίας πάσης, καὶ λειτουργήσαντας ἀμέμπτως τῷ ποιμνίῳ τοῦ Χριστοῦ μετὰ ταπεινοφροσύνης, ἡσύχως καὶ ἀβαναύσως, μεμαρτυρημένους τε πολλοῖς χρόνοις ὑπὸ πάντων, τούτους οὐ δικαίως νομίζομεν ἀποβάλλεσθαι τῆς λειτουργίας· 4. ἁμαρτία γὰρ οὐ μικρὰ ἡμῖν[3] ἔσται, ἐὰν τοὺς ἀμέμπτως καὶ ὁσίως προσενεγκόντας τὰ δῶρα[4] τῆς ἐπισκοπῆς ἀποβάλωμεν. 5. Μακάριοι οἱ προοδοιπορήσαντες πρεσβύτεροι[5], οἵτινες ἔγκαρπον καὶ τελείαν ἔσχον τὴν ἀνάλυσιν· οὐ γὰρ εὐλαβοῦνται, μή τις αὐτοὺς μεταστήσῃ ἀπὸ τοῦ ἱδρυμένου αὐτοῖς τόπου. 6. Ὁρῶμεν γάρ, ὅτι ἐνίους ὑμεῖς

decessissent, alii probati viri ministerium eorum acciperent. 3. Itaque qui ab illis vel deinceps ab aliis spectatis viris consentiente universa ecclesia instituti sunt et laute gregi Christi et cum humilitate, quiete liberaliterque servierunt multisque temporibus bonum ab omnibus testimonium reportaverunt, eos immerito ministerio detrudi censemus. 4. Peccatum enim non leve nobis erit, si eos, qui sine crimine et sancte munera obtulerunt, episcopatu detruserimus. 5. Beati presbyteri viam prius emensi, qui uberem perfectamque requiem assecuti sunt; non enim verentur, ne quis se loco sibi constituto demoveat. 6. Videmus enim, vos nonnullos honestos

Bryennii legitur *ἐπιδομήν*; coniecerunt alii *ἐπιτροπήν*, *ἐπιμονήν*, *ἐπιταγήν*, alia; contextu vocabulum exigitur, cui subiecta est haec vis: praeceptum vel dispositio.

[1] i. e. episcopi et diaconi. [2] Vox hoc loco ut paulo ante significat: postea vel deinceps; cfr. Act. 13, 42 et Barn. 13, 5. [3] i. e. nobis Christianis, non episcopo Romano. [4] *Δῶρα* laudes et preces sunt, imprimis in cena sacra deo offerendae per presbyteros. Sed etiam ipsa eucharistia *δωρεὰ τοῦ θεοῦ* nominatur (cfr. Ignat. ad Smyrn. c. 7), nec minus elementa ante consecrationem (Constitut. Apost. VIII 12). Ita Harnack. [5] Qui hoc loco et c. 47, 6 presbyteri vocantur, antea (44, 1) episcopi dicti sunt. Utrum notio presbyterorum apud Clementem etiam in diaconos (c. 42, 4) quadret necne, dubium est.

μετηγάγετε καλῶς πολιτευομένους ἐκ τῆς ἀμέμπτως αὐτοῖς τετιμημένης λειτουργίας.

viros e munere, quo integre functi erant, deiecisse.

c. LX 4 et LXI. *Oratio pro regibus et praefectis.*

LX 4. *Δὸς ὁμόνοιαν καὶ εἰρήνην ἡμῖν τε καὶ πᾶσι τοῖς κατοικοῦσι τὴν γῆν, καθὼς ἔδωκας τοῖς πατράσιν ἡμῶν, ἐπικαλουμένων σε αὐτῶν ὁσίως ἐν πίστει καὶ ἀληθείᾳ, ὑπηκόους γινομένους τῷ παντοκράτορι καὶ παναρέτῳ ὀνόματί σου, τοῖς τε ἄρχουσι καὶ ἡγουμένοις ἡμῶν ἐπὶ τῆς γῆς.*

LXI. *Σὺ, δέσποτα, ἔδωκας τὴν ἐξουσίαν τῆς βασιλείας αὐτοῖς διὰ τοῦ μεγαλοπρεποῦς καὶ ἀνεκδιηγήτου κράτους σου, εἰς τὸ γινώσκοντας ἡμᾶς τὴν ὑπὸ σοῦ αὐτοῖς δεδομένην δόξαν καὶ τιμὴν ὑποτάσσεσθαι αὐτοῖς, μηδὲν ἐναντιουμένους τῷ θελήματί σου· οἷς δός, κύριε, ὑγίειαν, εἰρήνην, ὁμόνοιαν, εὐστάθειαν, εἰς τὸ διέπειν αὐτοὺς τὴν ὑπὸ σοῦ δεδομένην αὐτοῖς ἡγεμονίαν ἀπροσκόπως. 2. Σὺ γάρ, δέσποτα, ἐπουράνιε βασιλεῦ τῶν αἰώνων, δίδως τοῖς υἱοῖς τῶν ἀνθρώπων δόξαν καὶ τιμὴν καὶ ἐξουσίαν τῶν ἐπὶ τῆς γῆς ὑπαρχόντων· σύ, κύριε, διεύθυνον τὴν βουλὴν αὐτῶν κατὰ τὸ καλὸν καὶ εὐάρεστον ἐνώπιόν σου*[1], *ὅπως*

LX 4. Da concordiam et pacem et nobis et omnibus incolis terrae, sicut dedisti patribus nostris pie te invocantibus in fide et veritate, ut subditi nomini tuo potentissimo et valentissimo etiam efficiamur principibus praefectisque nostris in terra.

LXI. Tu, domine, dedisti potestatem regni eis magnifica et inenarrabili virtute tua, ut cognita gloria et honore, quem eis tribuisti, nos subiciamus eis, nihil repugnantes voluntati tuae; quibus da, domine, sanitatem, pacem, concordiam, constantiam, ut imperium, quod iis dedisti, sine offensione administrent. 2. Tu enim, domine, caelestis rex saeculorum, filiis hominum gloriam et honorem et potestatem das eorum, quae in terra sunt; tu, domine, dirige consilium eorum ad id, quod bonum et beneplacitum est in conspectu tuo, ut administrantes in pace ac mansuetudine pie potestatem

[1] Deut. 12, 28.

διέποντες ἐν εἰρήνῃ καὶ πραΰτητι εὐσεβῶς τὴν ὑπὸ σοῦ αὐτοῖς δεδομένην ἐξουσίαν ἵλεώ σου τυγχάνωσιν. 3. Ὁ μόνος δυνατὸς ποιῆσαι ταῦτα καὶ περισσότερα ἀγαθὰ μεθ' ἡμῶν, σοὶ ἐξομολογούμεθα διὰ τοῦ ἀρχιερέως καὶ προστάτου τῶν ψυχῶν ἡμῶν Ἰησοῦ Χριστοῦ, δι' οὗ σοι ἡ δόξα καὶ ἡ μεγαλωσύνη καὶ νῦν καὶ εἰς γενεὰν γενεῶν καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

a te sibi datam propitium te nanciscantur. 3. Qui solus haec et multo maiora bona nobis impertire vales, tibi confitemur per pontificem et patronum animorum nostrorum Iesum Christum, per quem tibi gloria et maiestas et nunc et in generationem generationum et in saecula saeculorum. Amen.

c. Ex s. Ignatii epistulis.

Ad Ephesios c. VII 2. *De filio dei.*

Εἷς ἰατρός ἐστι, σαρκικός τε καὶ πνευματικός, γεννητὸς καὶ ἀγέννητος[1], ἐν σαρκὶ γενόμενος θεός, ἐν θανάτῳ ζωὴ ἀληθινή, καὶ ἐκ Μαρίας καὶ ἐκ θεοῦ, πρῶτον παθητὸς καὶ τότε ἀπαθής, Ἰησοῦς Χριστὸς ὁ κύριος ἡμῶν.

Unus medicus est, et carnalis et spiritualis, genitus et ingenitus, in carne exsistens deus, in morte vita vera, et ex Maria et ex deo, primum passibilis et tunc impassibilis, Iesus Christus dominus noster.

Ibid. XVI. et XVII 1. *Haeretici damnationem non effugient.*

XVI. Μὴ πλανᾶσθε, ἀδελφοί μου. Οἱ οἰκοφθόροι[2] βασιλείαν θεοῦ οὐ κληρονομήσουσιν[3]. 2. Εἰ

XVI. Nolite errare, fratres mei. Domorum corruptores *regnum dei non haereditabunt.*

[1] *Γεννητός* est Christus, quatenus per virtutem dei ex Maria natus est, *ἀγέννητος* autem ut deus ante saecula cum patre exsistens. [2] Fornicarii denotantur, ut ex sequentibus patet. [3] 1 Cor. 6, 9. 10.

οὖν οἱ κατὰ σάρκα ταῦτα πράσσοντες ἀπέθανον[1], πόσῳ μᾶλλον, ἐάν τις πίστιν θεοῦ ἐν κακῇ διδασκαλίᾳ φθείρῃ, ὑπὲρ ἧς Ἰησοῦς Χριστὸς ἐσταυρώθη; Ὁ τοιοῦτος, ῥυπαρὸς γενόμενος, εἰς τὸ πῦρ τὸ ἄσβεστον χωρήσει, ὁμοίως καὶ ὁ ἀκούων αὐτοῦ.

XVII. Διὰ τοῦτο μύρον ἔλαβεν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ ὁ κύριος, ἵνα πνέῃ τῇ ἐκκλησίᾳ ἀφθαρσίαν[2]. Μὴ ἀλείφεσθε δυσωδίαν τῆς διδασκαλίας τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου, μὴ αἰχμαλωτίσῃ ὑμᾶς ἐκ τοῦ προκειμένου ζῆν.

2. Quodsi, qui secundum carnem haec faciunt, mortui sunt, quanto magis, qui fidem dei mala doctrina corrumpet, pro qua Iesus Christus crucifixus est? Talis, inquinatus factus, in ignem inextinguibilem ibit, similiter et qui audit ipsum.

XVII. Propterea unguentum accepit in capite suo dominus, ut spiraret ecclesiae incorruptionem. Ne unguamini fetida doctrina principis huius saeculi, ne captivos vos abducat a proposita vita.

Ad Trallianos c. II. et III 1. *Episcopo et presbyteris et diaconis oboediendum est.*

II. Ὅταν γὰρ τῷ ἐπισκόπῳ ὑποτάσσησθε ὡς Ἰησοῦ Χριστῷ, φαίνεσθέ μοι οὐ κατὰ ἄνθρωπον ζῶντες, ἀλλὰ κατὰ Ἰησοῦν Χριστὸν τὸν δι' ἡμᾶς ἀποθανόντα, ἵνα πιστεύσαντες εἰς τὸν θάνατον αὐτοῦ τὸ ἀποθανεῖν ἐκφύγητε. 2. Ἀναγκαῖον οὖν ἐστιν, ὥσπερ ποιεῖτε, ἄνευ τοῦ ἐπισκόπου μηδὲν πράσσειν ὑμᾶς, ἀλλ' ὑποτάσσεσθαι καὶ τῷ πρεσβυτερίῳ, ὡς τοῖς ἀποστόλοις Ἰησοῦ Χριστοῦ,

II. Si enim episcopo vos subicietis ut Iesu Christo, videmini mihi non secundum hominem vivere, sed secundum Iesum Christum propter nos mortuum, ut credentes in mortem eius mortem effugiatis. 2. Itaque necesse est, quemadmodum facitis, sine episcopo nihil vos agere, sed etiam presbyterio subici ut apostolis Iesu Christi, spei nostrae, in quo vitam de-

[1] Moses praecepit, ut adulteri lapidarentur (Lev. 20, 10).
[2] Unguenti odor, qui a Iesu uncto profectus domum universam implevit, instar est doctrinae verae, quae a domino per totam manavit ecclesiam.

τῆς ἐλπίδος ἡμῶν, ἐν ᾧ διάγοντες εὑρεθησόμεθα. 3. Δεῖ δὲ καὶ τοὺς διακόνους ὄντας μυστηρίων Ἰησοῦ Χριστοῦ κατὰ πάντα τρόπον πᾶσιν ἀρέσκειν. Οὐ γὰρ βρωμάτων καὶ ποτῶν εἰσι διάκονοι, ἀλλ' ἐκκλησίας θεοῦ ὑπηρέται· δέον οὖν αὐτοὺς φυλάσσεσθαι τὰ ἐγκλήματα ὡς πῦρ.

III. Ὁμοίως πάντες ἐντρεπέσθωσαν τοὺς διακόνους ὡς Ἰησοῦν Χριστόν, ὡς καὶ τὸν ἐπίσκοπον ὄντα τύπον τοῦ πατρός, τοὺς δὲ πρεσβυτέρους ὡς συνέδριον θεοῦ καὶ ὡς σύνδεσμον ἀποστόλων. Χωρὶς τούτων ἐκκλησία οὐ καλεῖται.

gentes inveniemur. 3. Oportet autem etiam diaconos, qui sunt ministri mysteriorum Iesu Christi, omni modo omnibus placere. Non enim ciborum potuumque sunt diaconi, sed ecclesiae dei ministri; a criminibus igitur iis cavendum est tamquam ab igne.

III. Similiter omnes reverentor diaconos ut Iesum Christum, sicut et episcopum, qui est figura patris, presbyteros vero ut senatum dei et ut concilium apostolorum. Sine his ecclesia non vocatur.

Ad Smyrnaeos c. VIII. *Sine episcopo sacra facienda non sunt.*

Πάντες τῷ ἐπισκόπῳ ἀκολουθεῖτε, ὡς Ἰησοῦς Χριστὸς τῷ πατρί, καὶ τῷ πρεσβυτερίῳ ὡς τοῖς ἀποστόλοις· τοὺς δὲ διακόνους ἐντρέπεσθε ὡς θεοῦ ἐντολήν. Μηδεὶς χωρὶς τοῦ ἐπισκόπου τι πρασσέτω τῶν ἀνηκόντων εἰς τὴν ἐκκλησίαν. Ἐκείνη βεβαία εὐχαριστία ἡγείσθω, ἡ ὑπὸ τὸν ἐπίσκοπον οὖσα ἢ ᾧ ἂν αὐτὸς ἐπιτρέψῃ. 2. Ὅπου ἂν φανῇ ὁ ἐπίσκοπος, ἐκεῖ τὸ πλῆθος ἔστω, ὥσπερ ὅπου ἂν ᾖ Χριστὸς Ἰησοῦς,

Omnes episcopo obtemperate, ut Iesus Christus patri, et presbyterio ut apostolis; diaconos autem reveremini ut dei mandatum. Ne quis seorsum ab episcopo faciat quidquam eorum, quae spectant ad ecclesiam. Valida eucharistia habeatur illa, quae fit sub episcopo vel sub eo, cui ipse concesserit. 2. Ubicumque comparuerit episcopus, ibi multitudo sit, sicuti ubi Christus Iesus est, ibi catholica

ἐκεῖ ἡ καθολικὴ ἐκκλησία[1]. *Οὐκ ἐξόν ἐστι χωρὶς τοῦ ἐπισκόπου οὔτε βαπτίζειν οὔτε ἀγάπην ποιεῖν*[2]· *ἀλλ' ὃ ἂν ἐκεῖνος δοκιμάσῃ, τοῦτο καὶ τῷ θεῷ εὐάρεστον, ἵνα ἀσφαλὲς ᾖ καὶ βέβαιον πᾶν, ὃ πράσσεται.*

est ecclesia. Non licet sine episcopo neque baptizare neque agapen facere; sed quodcunque ille probaverit, hoc etiam deo est beneplacens, ut tutum sit et firmum omne, quod agitur.

Ad Philadelphenses c. VIII. *Christi doctrina non sola sacra scriptura continetur.*

Ἐγὼ μὲν οὖν τὸ ἴδιον ἐποίουν ὡς ἄνθρωπος εἰς ἕνωσιν κατηρτισμένος. Οὗ δὲ μερισμός ἐστι καὶ ὀργή, θεὸς οὐ κατοικεῖ. Πᾶσιν οὖν μετανοοῦσιν ἀφίει ὁ κύριος, ἐὰν μετανοήσωσιν εἰς ἑνότητα θεοῦ καὶ συνέδριον τοῦ ἐπισκόπου· πιστεύω τῇ χάριτι Ἰησοῦ Χριστοῦ, ὃς λύσει ἀφ' ὑμῶν πάντα δεσμόν. 2. Παρακαλῶ δὲ ὑμᾶς μηδὲν κατ' ἐρίθειαν πράσσειν, ἀλλὰ κατὰ χριστομαθίαν· ἐπεὶ ἤκουσά τινων λεγόντων, ὅτι, ἐὰν μὴ ἐν τοῖς ἀρχείοις[3] *εὕρω, ἐν τῷ εὐαγγελίῳ*[4]*, οὐ πιστεύω·*

Equidem, quod meum erat, feci ut homo ad concordiam destinatus. Ubi autem divisio est et ira, deus non habitat. Omnibus vero delicto dolentibus remittit dominus, si paenitentiam agent in unitatem dei et communionem episcopi; confido gratiae Iesu Christi, qui auferet a vobis omne vinculum. 2. Obsecro autem vos, ut nihil agatis litigantes, sed omnia secundum Christi doctrinam; audivi enim quosdam dicentes: Nisi in archivis i. e. in evangelio invenero, non credo;

[1] Verba 'catholica ecclesia', quae hoc loco primum occurrunt, significant ecclesiam universam, cuius caput Christus est. [2] Agape in epistulis sancti Ignatii idem valet quod eucharistia; cena enim illa, cui nomen erat agape, tunc temporis etiam cenam sacram complectebatur (cfr. 1 Cor. 11, 20. 21 et Doctr. apost. c. 10 init.). [3] In codice Mediceo (G_1) et in vetere versione latina (L_1) hoc loco legitur: *ἐν τοῖς ἀρχαίοις* i. e. in libris veteris testamenti; sed cum brevi post bis occurrat *ἀρχεῖα*, prior lectio sine dubio corrigenda est. Vox *ἀρχεῖα* non solum locum designat, ubi documenta scripta asservantur, sed etiam documenta ipsa [4] Hoc vocabulum non solum de quattuor libris evan-

καὶ λέγοντός μου αὐτοῖς, ὅτι γέγραπται, ἀπεκρίθησάν μοι, ὅτι πρόκειται. Ἐμοὶ δὲ ἀρχεῖα ἐστιν Ἰησοῦς Χριστός, τὰ ἄθικτα ἀρχεῖα ὁ σταυρὸς αὐτοῦ καὶ ὁ θάνατος καὶ ἡ ἀνάστασις αὐτοῦ καὶ ἡ πίστις ἡ δι' αὐτοῦ, ἐν οἷς θέλω ἐν τῇ προσευχῇ ὑμῶν δικαιωθῆναι.

et dicente me ipsis scriptum esse, responderunt mihi de ea re quaeri. Mihi autem archiva sunt Iesus Christus, intacta archiva crux eius et mors et resurrectio eius et fides, quae est per ipsum, quibus in vestra oratione iustificari volo.

Ad Philad. c. IV. et Smyrnaeos c. VII 1. *De eucharistia.*

Phil. IV. Σπουδάσατε οὖν μιᾷ εὐχαριστίᾳ χρῆσθαι· μία γὰρ σὰρξ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἓν ποτήριον εἰς ἕνωσιν τοῦ αἵματος αὐτοῦ, ἓν θυσιαστήριον, ὡς εἷς ἐπίσκοπος ἅμα τῷ πρεσβυτερίῳ καὶ διακόνοις, τοῖς συνδούλοις μου· ἵνα, ὃ ἐὰν[1] πράσσητε, κατὰ θεὸν πράσσητε.

Phil. IV. Studeatis igitur una eucharistia uti; una enim caro domini nostri Iesu Christi et unus calix in communionem sanguinis eius, unum altare, sicut unus episcopus una cum presbyterio et diaconis, conservis meis, ut, quodcunque facitis, secundum deum faciatis.

Smyrn. VII 1. Εὐχαριστίας καὶ προσευχῆς ἀπέχονται[2] διὰ τὸ μὴ ὁμολογεῖν τὴν εὐχαριστίαν σάρκα εἶναι τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ τὴν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν παθοῦσαν, ἣν τῇ χρηστότητι ὁ πατὴρ ἤγειρεν. Οἱ οὖν ἀντιλέγοντες τῇ δωρεᾷ τοῦ θεοῦ, συζητοῦντες ἀποθνήσκουσιν. Συνέφερε δὲ αὐτοῖς ἀγαπᾶν[3], ἵνα καὶ ἀναστῶσιν.

Smyrn. VII 1. Eucharistia et oratione abstinent, quia negant eucharistiam carnem esse salvatoris nostri Iesu Christi pro peccatis nostris passam, quam pater benignitate suscitavit. Qui ergo contradicunt dono dei, disceptantes moriuntur. Conveniret autem eis diligere, ut et resurgerent.

geliorum, sed etiam de scriptis apostolorum accipiendum esse, ex alio loco (ad Philad. c. 5) mihi apparere videtur.

[1] i. e. ἄν [2] sc. haeretici. [3] Idem est atque ἀγάπην ποιεῖν (cfr. ad Smyrn. VIII 2) seu eucharistiam celebrare.

Ad Polycarpum c. V 2. *De virginitate et matrimonio contrahendo.*

Εἴ τις δύναται ἐν ἁγνείᾳ μένειν εἰς τιμὴν τῆς σαρκὸς τοῦ κυρίου, ἐν ἀκαυχησίᾳ μενέτω· ἐὰν καυχήσηται, ἀπώλετο, καὶ ἐὰν γνωσθῇ πλέον τοῦ ἐπισκόπου, ἔφθαρται. Πρέπει δὲ τοῖς γαμοῦσι καὶ ταῖς γαμουμέναις μετὰ γνώμης τοῦ ἐπισκόπου[1] *τὴν ἕνωσιν ποιεῖσθαι, ἵνα ὁ γάμος ᾖ κατὰ κύριον καὶ μὴ καθ' ἐπιθυμίαν. Πάντα εἰς τιμὴν θεοῦ γινέσθω.*

Si quis in castitate manere potest in honorem carnis domini, in humilitate maneat; si gloriatus erit, periit et, si se superiorem duxerit episcopo, corruptus est. Decet autem uxorem ducentes et nubentes de sententia episcopi matrimonium inire, ut nuptiae sint secundum dominum et non secundum libidinem. Omnia in honorem dei fiant.

d. Ex epistula ad Diognetum scripta.

c. V. *Mores christianorum laudantur.*

Χριστιανοὶ γὰρ οὔτε γῇ οὔτε φωνῇ οὔτε ἔθεσι διακεκριμένοι τῶν λοιπῶν εἰσιν ἀνθρώπων[2]. 2. *Οὔτε γάρ που πόλεις ἰδίας κατοικοῦσιν οὔτε διαλέκτῳ τινὶ παρηλλαγμένῃ χρῶνται οὔτε βίον παράσημον ἀσκοῦσιν.* 3. *Οὐ μὴν ἐπινοίᾳ τινὶ καὶ φροντίδι πολυπραγμόνων ἀνθρώπων μάθημα τοῦτ' αὐτοῖς ἐστιν εὑρημένον, οὐδὲ δόγματος ἀνθρωπίνου προεστᾶσιν,*

Christiani enim neque terra neque lingua neque moribus dissoni sunt a ceteris hominibus. 2. Neque enim urbes proprias incolunt neque sermone quodam utuntur insolito neque vitam degunt singularem. 3. Neque vero consilio quodam aut sollicitudine curiosorum hominum haec doctrina ab iis est inventa, neque dogmati humano instant,

[1] Cfr. Tertull., Ad ux. II 9: Unde sufficiamus ad enarrandam felicitatem eius matrimonii, quod ecclesia conciliat et confirmat oblatio et obsignat benedictio? [2] Tert., Apol c. 42: Quo pacto (infructuosi sunt) homines vobiscum degentes, eiusdem victus, habitus, instructus, eiusdem ad vitam necessitatis?

ὥσπερ ἔνιοι. 4. Κατοικοῦντες δὲ πόλεις ἑλληνίδας τε καὶ βαρβάρους[1], ὡς ἕκαστος ἐκληρώθη, καὶ τοῖς ἐγχωρίοις ἔθεσιν ἀκολουθοῦντες ἔν τε ἐσθῆτι καὶ διαίτῃ καὶ τῷ λοιπῷ βίῳ θαυμαστὴν καὶ ὁμολογουμένως παράδοξον ἐνδείκνυνται τὴν κατάστασιν τῆς ἑαυτῶν πολιτείας. 5. Πατρίδας οἰκοῦσιν ἰδίας, ἀλλ' ὡς πάροικοι· μετέχουσι πάντων ὡς πολῖται, καὶ πάνθ' ὑπομένουσιν ὡς ξένοι· πᾶσα ξένη πατρίς ἐστιν αὐτῶν, καὶ πᾶσα πατρὶς ξένη. 6. Γαμοῦσιν ὡς πάντες, τεκνογονοῦσιν· ἀλλ' οὐ ῥίπτουσι τὰ γεννώμενα. 7. Τράπεζαν κοινὴν παρατίθενται, ἀλλ' οὐ κοίτην[2]· 8. „ἐν σαρκὶ τυγχάνουσιν, ἀλλ' οὐ κατὰ σάρκα ζῶσιν"[3]· 9. ἐπὶ γῆς διατρίβουσιν, ἀλλ' ἐν οὐρανῷ πολιτεύονται. 10. Πείθονται τοῖς ὡρισμένοις νόμοις, καὶ τοῖς ἰδίοις βίοις νικῶσι τοὺς νόμους. 11. Ἀγαπῶσι πάντας, καὶ ὑπὸ πάντων διώκονται· 12. ἀγνοοῦνται, καὶ κατακρίνονται· „θανατοῦνται, καὶ ζωοποιοῦνται"[4]· 13. „πτωχεύουσι, καὶ πλουτίζουσι πολλούς"[5]· πάντων ὑστεροῦνται, καὶ ἐν πᾶσι περισσεύουσιν. 14. Ἀτιμοῦνται, καὶ ἐν ταῖς ἀτιμίαις δοξάζονται· βλασ-

ut alii. 4. Incolentes autem civitates et graecas et barbaras, sicuti cuiusque sors tulit, et indigenarum instituta secuti et in veste et in victu reliquoque vivendi genere mirum et omnium consensu incredibilem vitae suae rationem prae se ferunt. 5. Patriam suam quisque incolit sed tamquam inquilinus; participes sunt omnium rerum tamquam cives et omnia patiuntur ut peregrini; omnis peregrina regio patria est eorum et omnis patria peregrina. 6. Uxores ducunt ut omnes, liberos procreant, sed non abiciunt fetus. 7. Mensam communem apponunt, sed non lectum; 8. in carne sunt, neque vero secundum carnem vivunt; 9. in terra versantur, sed caeli sunt cives. 10. Obtemperant legibus constitutis et vita sua superant leges. 11. Amant omnes et ab omnibus vexantur; 12. ignorantur et condemnantur; occiduntur et vivificantur, 13. mendicant et ditant multos, omnibus rebus egent et omnibus redundant. 14. Contemnuntur et in contumeliis celebrantur; infamantur et iusti

[1] Etiam Judaei a Justino (Apol. I 46) et Tatiano (Contra Graec. c. 1) barbari appellantur. [2] κοινήν cod. [3] 2 Cor. 10, 3. [4] 2 Cor. 6, 9. [5] 2 Cor. 6, 10.

φημοῦνται, καὶ δικαιοῦνται· 15. „λοιδοροῦνται, καὶ εὐλογοῦσιν“[1]· ὑβρίζονται, καὶ τιμῶσιν. 16. Ἀγαθοποιοῦντες ὡς κακοὶ κολάζονται· κολαζόμενοι χαίρουσιν ὡς ζωοποιούμενοι. 17. Ὑπὸ Ἰουδαίων ὡς ἀλλόφυλοι πολεμοῦνται καὶ ὑπὸ Ἑλλήνων διώκονται· καὶ τὴν αἰτίαν τῆς ἔχθρας εἰπεῖν οἱ μισοῦντες οὐκ ἔχουσιν.

deputantur; 15. obiurgantur et benedicunt; insolenter tractantur et honore afficiunt. 16. Bene facientes tamquam iniqui castigantur, castigati gaudent tamquam vivificati. 17. Iudaei ut alienigenis eis bellum inferunt et Graeci eos persequuntur; sed causam inimicitiarum ii, qui oderunt, dicere nequeunt.

c. VI. *Christiani sunt in mundo, quod animus in corpore.*

Ἁπλῶς δ' εἰπεῖν, ὅπερ ἐστὶν ἐν σώματι ψυχή, τοῦτ' εἰσιν ἐν κόσμῳ Χριστιανοί. 2. Ἔσπαρται κατὰ πάντων τῶν τοῦ σώματος μελῶν ἡ ψυχή, καὶ Χριστιανοὶ κατὰ τὰς τοῦ κόσμου πόλεις. 3. Οἰκεῖ μὲν ἐν τῷ σώματι ψυχή, οὐκ ἔστι δὲ ἐκ τοῦ σώματος· καὶ Χριστιανοὶ ἐν κόσμῳ οἰκοῦσιν, οὐκ εἰσὶ δὲ ἐκ τοῦ κόσμου. 4. Ἀόρατος ἡ ψυχὴ ἐν ὁρατῷ φρουρεῖται τῷ σώματι· καὶ Χριστιανοὶ γινώσκονται μὲν ὄντες ἐν τῷ κόσμῳ, ἀόρατος δὲ αὐτῶν ἡ θεοσέβεια μένει[2]. 5. Μισεῖ τὴν ψυχὴν ἡ σὰρξ καὶ πολεμεῖ μηδὲν ἀδικουμένη, διότι ταῖς ἡδοναῖς κωλύεται χρῆσθαι· μισεῖ καὶ Χριστιανοὺς ὁ κόσμος μηδὲν ἀδικούμενος, ὅτι ταῖς ἡδοναῖς ἀντιτάσ-

Ut breviter dicam: Quod est in corpore animus, hoc sunt in mundo Christiani. 2. Dispersus est per omnia corporis membra animus et Christiani per civitates mundi. 3. Quamquam habitat in corpore animus, tamen non est ex corpore; et Christiani in mundo habitant, non vero sunt ex mundo. 4. Invisibilis animus in visibili custoditur corpore; et Christianorum, quamquam in mundo versantes conspiciuntur, tamen invisibilis pietas manet. 5. Odit animum caro et bellat nulla adfecta iniuria, quod voluptatibus frui prohibetur; odit etiam Christianos mundus nullis adfectus iniuriis, quod voluptatibus se opponit.

[1] 1 Cor. 4, 12. [2] Joh. 4, 24: Spiritus est deus et, qui adorant eum, in spiritu et veritate oportet adorare.

σονται[1]. 6. Ἡ ψυχὴ τὴν μισοῦσαν ἀγαπᾷ σάρκα καὶ τὰ μέλη· καὶ Χριστιανοὶ τοὺς μισοῦντας ἀγαπῶσιν[2]. 7. Ἐγκέκλεισται μὲν ἡ ψυχὴ τῷ σώματι, συνέχει δὲ αὐτὴ τὸ σῶμα· καὶ Χριστιανοὶ κατέχονται μὲν ὡς ἐν φρουρᾷ τῷ κόσμῳ, αὐτοὶ δὲ συνέχουσι τὸν κόσμον. 8. Ἀθάνατος ἡ ψυχὴ ἐν θνητῷ σκηνώματι κατοικεῖ· καὶ Χριστιανοὶ παροικοῦσιν ἐν φθαρτοῖς, τὴν ἐν οὐρανοῖς ἀφθαρσίαν προσδεχόμενοι. 9. Κακουργουμένη σιτίοις καὶ ποτοῖς ἡ ψυχὴ βελτιοῦται· καὶ Χριστιανοὶ κολαζόμενοι καθ' ἡμέραν πλεονάζουσι μᾶλλον[3]. 10. Εἰς τοσαύτην αὐτοὺς τάξιν ἔθετο ὁ θεός, ἣν οὐ θεμιτὸν αὐτοῖς παραιτήσασθαι.

6. Animus carnem, quae eum odit, amat et membra; etiam Christiani eos, qui oderunt, amant. 7. Animus, quamquam in corpore inclusus, ipse continet corpus; et Christiani quasi in custodia tenentur mundo, ipsi autem continent mundum. 8. Immortalis animus in mortali tabernaculo habitat; et Christiani accolunt fluxa, aeternitatem in caelis exspectantes. 9. Aspere tractatus cibis potibusque animus firmatur; etiam Christiani castigati in dies augescunt magis. 10. Adeo eos in acie conlocavit deus, quam detrectare eis nefas est.

c. VII. *Filius dei, creator mundi et salvator hominum, est auctor religionis Christianae.*

Οὐ γὰρ ἐπίγειον, ὡς ἔφην[4], εὕρημα τοῦτ' αὐτοῖς παρεδόθη, οὐδὲ θνητὴν ἐπίνοιαν φυλάσσειν οὕτως ἀξιοῦσιν ἐπιμελῶς, οὐδὲ ἀνθρωπίνων οἰκονομίαν μυστηρίων πεπίστευνται· 2. ἀλλ' αὐτὸς ἀληθῶς ὁ παντοκράτωρ καὶ παντοκτίστης καὶ ἀόρατος θεός, αὐτὸς ἀπ' οὐρανῶν τὴν ἀλήθειαν

Non enim terrenum, ut dixi, inventum hoc iis traditum est, neque mortale consilium custodiendum esse tam diligenter censent, neque humanorum administratio mysteriorum iis commissa est. 2. Sed ipse deus revera omnium rex et omnium conditor et invisibilis, ipse de

[1] Joh. 15, 18. 19. [2] Matth. 5, 44. [3] Tert., Apol. c. 50: Plures efficimur, quotiens metimur a vobis, semen est sanguis Christianorum. [4] Supra c. 5 (p. 75).

καὶ τὸν λόγον τὸν ἅγιον καὶ ἀπερινόητον ἀνθρώποις ἐνίδρυσε καὶ ἐγκατεστήριξε ταῖς καρδίαις αὐτῶν. Οὐ, καθάπερ ἄν τις εἰκάσειεν, ἀνθρώποις ὑπηρέτην τινὰ πέμψας ἢ ἄγγελον ἢ ἄρχοντα ἢ τινα τῶν διεπόντων τὰ ἐπίγεια ἢ τινα τῶν πεπιστευμένων τὰς ἐν οὐρανοῖς διοικήσεις, ἀλλ' αὐτὸν τὸν τεχνίτην καὶ δημιουργὸν τῶν ὅλων, ᾧ τοὺς οὐρανοὺς ἔκτισεν, ᾧ τὴν θάλασσαν ἰδίοις ὅροις ἐνέκλεισεν, οὗ τὰ μυστήρια[1] πιστῶς πάντα φυλάσσει τὰ στοιχεῖα[2], παρ' οὗ τὰ μέτρα τῶν τῆς ἡμέρας δρόμων ὁ ἥλιος εἴληφε φυλάσσειν, ᾧ πειθαρχεῖ σελήνη νυκτὶ φαίνειν κελεύοντι, ᾧ πειθαρχεῖ τὰ ἄστρα τῷ τῆς σελήνης ἀκολουθοῦντα δρόμῳ· ᾧ πάντα διατέτακται καὶ διώρισται καὶ ὑποτέτακται, οὐρανοὶ καὶ τὰ ἐν οὐρανοῖς, γῆ καὶ τὰ ἐν τῇ γῇ, θάλασσα καὶ τὰ ἐν τῇ θαλάσσῃ, πῦρ, ἀήρ, ἄβυσσος, τὰ ἐν ὕψεσι, τὰ ἐν βάθεσι, τὰ ἐν τῷ μεταξύ· τοῦτον πρὸς αὐτοὺς ἀπέστειλεν. 3. Ἆρά γε, ὡς ἀνθρώπων ἄν τις λογίσαιτο, ἐπὶ τυραννίδι καὶ φόβῳ καὶ καταπλήξει[3]; 4. Οὐ μὲν οὖν· ἀλλ' ἐν ἐπιεικείᾳ καὶ πραΰτητι ὡς βασιλεὺς πέμπων υἱὸν βασιλέα ἔπεμψεν, ὡς

caelis veritatem et verbum sanctum et quod comprehendi nequit, in hominibus collocavit et infixit cordibus eorum; non, quemadmodum forsitan coniectet quispiam, hominibus ministro quodam misso vel angelo vel principe vel uno ex iis, qui terrena gubernant vel quibus commissa est administratio rerum caelestium, sed ipso artifice et opifice omnium, per quem caelos condidit, per quem mare suis terminis inclusit, cuius mysteria fideliter omnia servant elementa, a quo mensuras diurnorum cursuum sol observandas accepit, cui paret luna nocte lucere eam iubente, cui parent stellae lunae secutae cursum, cui omnia disposita et definita et subiecta sunt, caeli et quae in caelis, terra et quae in terra, mare et quae in mari sunt, ignis, aër, abyssus, quae in excelso, quae in profundo, quae in medio sunt: hunc ad eos misit. Numquid, quemadmodum nescio an hominum cogitet quispiam, tyrannidis vel timoris pavorisque incutiendi causa? 4. Minime vero; immo in aequitate et lenitate

[1] i. e. arcanas leges. [2] Hanc vocem *στοιχεῖα* Funk de sideribus postea enumeratis interpretatur. [3] Joh. 3, 17.

θεὸν[1] *ἔπεμψεν, ὡς ἄνθρωπον πρὸς ἀνθρώπους ἔπεμψεν, ὡς σώζων ἔπεμψεν, ὡς πείθων, οὐ βιαζόμενος· βία γὰρ οὐ πρόσεστι τῷ θεῷ. 5. Ἔπεμψεν ὡς καλῶν, οὐ διώκων· ἔπεμψεν ὡς ἀγαπῶν, οὐ κρίνων. 6. Πέμψει γὰρ αὐτὸν κρίνοντα· καὶ τίς αὐτοῦ τὴν παρουσίαν ὑποστήσεται*[2]*; . . . . 7. [Οὐχ ὁρᾶς] παραβαλλομένους θηρίοις, ἵνα ἀρνήσωνται τὸν κύριον, καὶ μὴ νικωμένους; 8. Οὐχ ὁρᾶς, ὅσῳ πλείονες κολάζονται, τοσούτῳ πλεονάζοντας ἄλλους; 9. Ταῦτα ἀνθρώπου οὐ δοκεῖ τὰ ἔργα, ταῦτα δύναμίς ἐστι θεοῦ, ταῦτα τῆς παρουσίας αὐτοῦ δείγματα.*

ut rex mittens filium regem misit, ut deum misit, ut hominem ad homines misit, ut servans misit, ut persuadens, non cogens; violentia enim non inest in deo. 5. Misit ut vocans, non persequens; misit ut amans, non iudicans. 6. Mittet enim eum iudicantem et quis praesentiam eius sustinebit? . . . . 7. [Videsne], qui feris obiciantur, ut denegent dominum, non vinci? 8. Videsne, quo plures supplicio adficiantur, eo magis crescere numerum ceterorum? 9. Haec hominis non videntur esse opera; haec virtus est dei; haec adventus eius argumenta!

e. Ex Papiae episcopi Hierapolitani fragmentis.

De evangelistis Marco et Matthaeo[3].

„Καὶ τοῦθ' ὁ πρεσβύτερος[4] *ἔλεγεν· Μάρκος μὲν ἑρμηνευτὴς*[5] *Πέτρου γενόμενος, ὅσα ἐμνημόνευσεν, ἀκριβῶς ἔγραψεν, οὐ μέντοι τάξει, τὰ ὑπὸ τοῦ κυρίου ἢ*

'Etiam hoc, inquit, presbyter narrabat, quod Marcus interpres fuerit Petri et quaecunque meminerat ab eo dicta conscripserit, non tamen per ordinem

[1] Deus enim natura bonus hominumque amantissimus est. [2] Malach. 3, 2. [3] Textus graecus est Eusebii (Hist. eccl. III 39, 15. 16) ex recensione novissima Eduardi Schwartz (Eus. Werke, vol. II, Lipsiae 1903); textus latinus vero Rufini (Hist. eccl. III 39, 15. 16) ex recensione Theodori Mommsen (eodem loco). [4] Eum presbyterum s. Joannem apostolum fuisse verisimillimum est. [5] Papias dicere non vult, Marcum verba Petri in aliam linguam transtulisse, sed ea ex praedicatione Petri eos docuisse, qui apostolum ipsum non audierant.

λεχθέντα ἢ πραχθέντα. Οὔτε γὰρ ἤκουσε τοῦ κυρίου οὔτε παρηκολούθησεν αὐτῷ, ὕστερον δέ, ὡς ἔφην, Πέτρῳ, ὃς πρὸς τὰς χρείας ἐποιεῖτο τὰς διδασκαλίας, ἀλλ' οὐχ ὥσπερ σύνταξιν τῶν κυριακῶν ποιούμενος λογίων, ὥστε οὐδὲν ἥμαρτε Μάρκος, οὕτως ἔνια γράψας ὡς ἀπεμνημόνευσεν· ἑνὸς γὰρ ἐποιήσατο πρόνοιαν, τοῦ μηδὲν ὧν ἤκουσε παραλιπεῖν ἢ ψεύσασθαί τι ἐν αὐτοῖς".

Ταῦτα μὲν οὖν ἱστόρηται τῷ Παπίᾳ περὶ τοῦ Μάρκου· περὶ δὲ τοῦ Ματθαίου ταῦτ' εἴρηται· „Ματθαῖος μὲν οὖν ἑβραΐδι[1] διαλέκτῳ τὰ λόγια συνετάξατο, ἡρμήνευσε[2] δ' αὐτὰ ὡς ἦν δυνατὸς ἕκαστος".

ea, quae a domino dicta sunt vel facta, digesserit, quia non ipse auditor domini fuerit vel sectator, sed novissime, ut dixi, Petro adhaesit ad usum atque ministerium praedicandi, non ad conscribendos domini sermones. Itaque nihil peccavit Marcus in eo, quod ita quaedam scripsit, quasi qui sparsim audita recordari videatur, et hoc solum satis egit, ne quid ex auditis omitteret aut aliquid falsum scriberet'.

Haec de Marco scribit Papias; sed et de Matthaeo ita refert: 'Matthaeus quidem scripsit hebraeo sermone, interpretatus est autem ea quae scripsit unusquisque, sicut potuit'.

De vita diuturna quorundam a Christo ad vitam revocatorum[3].

Ἱστορεῖ δὲ (Παπίας) καὶ ἄλλα θαύματα καὶ μάλιστα τὸ κατὰ τὴν μητέρα Μαναΐμου τὴν ἐκ νεκρῶν ἀναστᾶσαν· περὶ τῶν ὑπὸ τοῦ Χριστοῦ ἐκ νεκρῶν ἀναστάντων, ὅτι ἕως Ἀδριανοῦ[3] ἔζων.

Refert etiam alia miracula et maxime matrem Manaimi ab inferis suscitatam esse; eorum, qui a Christo ad vitam reducti essent, quosdam usque ad Hadrianum vixisse.

[1] Idem de s. Matthaeo tradunt Irenaeus (Adv. haer. III 1, 1), Origenes (Eus., Hist. eccl. VI 25, 4), Eusebius (H. e. III 24, 6), Hieronymus (De script. eccl. c. 3), alii. [2] i. e. in linguam graecam vertit. [3] Philippus Sidetes (saec. V) haec ex Papiae libro deprompta nobis servavit. [4] Inde apparet et Papiam post Hadriani imperatoris tempus scripsisse et Quadrati apologia Hadriano imperatori oblata usum

f. Ex Hermae Pastore.

Mand. IV 1, 1—8. *De adultera semel dimittenda, donec resipuerit.*

Ἐτέλλομαί σοι, φησί, φυλάσσειν τὴν ἁγνείαν, καὶ μὴ ἀναβαινέτω σου ἐπὶ τὴν καρδίαν περὶ γυναικὸς ἀλλοτρίας ἢ περὶ πορνείας τινὸς ἢ περὶ τοιούτων τινῶν ὁμοιωμάτων πονηρῶν. Τοῦτο γὰρ ποιῶν μεγάλην ἁμαρτίαν ἐργάζῃ· τῆς δὲ σῆς μνημονεύων πάντοτε γυναικὸς οὐδέποτε διαμαρτήσεις. 2. Ἐὰν γὰρ αὕτη ἡ ἐνθύμησις ἐπὶ τὴν καρδίαν σου ἀναβῇ, διαμαρτήσεις, καὶ ἐὰν ἕτερα οὕτως πονηρά, ἁμαρτίαν ἐργάζῃ· ἡ γὰρ ἐνθύμησις αὕτη θεοῦ δούλῳ ἁμαρτία μεγάλη ἐστίν· ἐὰν δέ τις ἐργάσηται τὸ ἔργον τὸ πονηρὸν τοῦτο, θάνατον ἑαυτῷ κατεργάζεται. 3. Βλέπε οὖν σύ· ἀπέχου ἀπὸ τῆς ἐνθυμήσεως ταύτης· ὅπου γὰρ σεμνότης κατοικεῖ, ἐκεῖ ἀνομία οὐκ ὀφείλει ἀναβαίνειν ἐπὶ καρδίαν ἀνδρὸς δικαίου. 4. Λέγω αὐτῷ· Κύριε, ἐπίτρεψόν μοι ὀλίγα ἐπερωτῆσαί σε. Λέγε, φησίν. Κύριε, φημί, εἴ γυναῖκα ἔχῃ τις

Praecipio, tibi, inquit, ut custodias castitatem neque intret in animum tuum mulieris alienae cogitatio aut fornicationis ullius aut eiusmodi vitiorum similium. Hoc enim faciens magnum delictum admittis; tuae autem coniugis omni tempore memor nunquam peccabis. 2. Si enim hoc desiderium in animum tuum intraverit, peccabis, et si quae alia tam mala, peccatum admittis; hoc enim desiderium dei servo magnum peccatum est; si quis autem hoc opus malum operatur, mortem sibi operatur. 3. Vide ergo tu; abstine hoc desiderio; ubi enim honestas habitat, ibi iniquitas intrare non debet in cor viri iusti. 4. Dico ei: Domine permitte mihi, ut pauca interrogem te. Dic, inquit. Domine, inquam, si quis mulierem habet fidelem in domino eamque deprehendit in adulterio

esse. Ex ea enim apologia Eusebius haec exscripsit (Hist. e. IV 3, 2): *Τοῦ δὲ σωτῆρος ἡμῶν τὰ ἔργα ἀεὶ παρῆν, ἀληθῆ γὰρ ἦν, οἱ θεραπευθέντες, οἱ ἀναστάντες ἐκ νεκρῶν, οἳ οὐκ ὤφθησαν μόνον θεραπευόμενοι καὶ ἀνιστάμενοι, ἀλλὰ καὶ ἀεὶ παρόντες, οὐδὲ ἐπιδημοῦντος μόνον τοῦ σωτῆρος, ἀλλὰ καὶ ἀπαλλαγέντος ἦσαν ἐπὶ χρόνον ἱκανόν, ὥστε καὶ εἰς τοὺς ἡμετέρους χρόνους τινὲς αὐτῶν ἀφίκοντο.*

πιστὴν ἐν κυρίῳ καὶ ταύτην εὕρῃ ἐν μοιχείᾳ τινί, ἆρα ἁμαρτάνει ὁ ἀνὴρ συνζῶν μετ' αὐτῆς; 5. Ἄχρι τῆς ἀγνοίας, φησίν, οὐχ ἁμαρτάνει· ἐὰν δὲ γνῷ ὁ ἀνὴρ τὴν ἁμαρτίαν αὐτῆς καὶ μὴ μετανοήσῃ ἡ γυνή, ἀλλ' ἐπιμένῃ τῇ πορνείᾳ αὐτῆς καὶ συνζῇ ὁ ἀνὴρ μετ' αὐτῆς, ἔνοχος γίνεται τῆς ἁμαρτίας αὐτῆς καὶ κοινωνὸς τῆς μοιχείας αὐτῆς. 6. Τί οὖν, φημί, κύριε, ποιήσῃ ὁ ἀνήρ, ἐὰν ἐπιμείνῃ τῷ πάθει τούτῳ ἡ γυνή; Ἀπολυσάτω, φησίν, αὐτὴν καὶ ὁ ἀνὴρ ἐφ' ἑαυτῷ μενέτω· „ἐὰν δὲ ἀπολύσας τὴν γυναῖκα ἑτέραν γαμήσῃ, καὶ αὐτὸς μοιχᾶται“ [1]. 7. Ἐὰν οὖν, φημί, κύριε, μετὰ τὸ ἀπολυθῆναι τὴν γυναῖκα μετανοήσῃ ἡ γυνὴ καὶ θελήσῃ ἐπὶ τὸν ἑαυτῆς ἄνδρα ὑποστρέψαι, οὐ παραδεχθήσεται; 8. Καὶ μήν, φησίν, ἐὰν μὴ παραδέξηται αὐτὴν ὁ ἀνήρ, ἁμαρτάνει καὶ μεγάλην ἁμαρτίαν ἑαυτῷ ἐπισπᾶται, ἀλλὰ δεῖ παραδεχθῆναι [2] τὸν ἡμαρτηκότα καὶ μετανοοῦντα, μὴ ἐπὶ πολὺ δέ· τοῖς γὰρ δούλοις τοῦ θεοῦ μετάνοιά ἐστι

aliquo, peccatne maritus, si cum ea vivat? 5. Quamdiu ignorat, inquit, non peccat; si autem maritus delictum eius cognoverit neque mulier resipuerit, sed permanserit in fornicatione sua et maritus cum ea vivere pergit, reus fit peccati eius et particeps adulterii eius. 6. Quid igitur, inquam, domine, faciet maritus, si permanserit in libidine hac mulier? Dimittat, inquit, eam et maritus solus maneat; *si vero dimissa uxore aliam duxerit, et ipse adulterat.* 7. Quod si, inquam, domine, uxor dimissa paenitentiam egerit et ad maritum suum reverti voluerit, non recipietur? 8. Imo vero, inquit, nisi eam receperit maritus, peccat et grande delictum in se admittit; sed oportet recipiatur, qui peccavit et resipiscit, neque vero saepe; servis enim dei paenitentia est una. Propter paenitentiam ergo non licet aliam ducere viro. Haec res ad mulierem et ad virum spectat.

[1] Matth. 5, 32; cfr. 1 Cor. 7, 11. [2] Haec verba valde displicuerunt Tertulliano, qui ut montanista moechum, etiamsi resipiscat, recipi posse vetat; eapropter graviter in Hermam invehitur (De pudic. c. 10) ita: „Sed cederem tibi, si scriptura Pastoris, quae sola moechos amat, divino instrumento (i. e. sacrae scripturae) meruisset incidi, si non ab omni concilio ecclesiarum, etiam vestrarum, inter apocrypha et falsa iudicaretur.“

μία. Διὰ τὴν μετάνοιαν οὖν οὐκ ὀφείλει γαμεῖν ὁ ἀνήρ. Αὕτη ἡ πρᾶξις ἐπὶ γυναικὶ καὶ ἀνδρὶ κεῖται.

Mand. IV 3. *Christianis, qui adhuc deliquerunt, paenitentia una est; iis vero, qui posthac delinquent, nulla.*

Ἔτι, φημί[1], κύριε, προσθήσω τοῦ ἐπερωτῆσαι. Λέγε, φησίν[2]. Ἤκουσα, φημί, κύριε, παρά τινων διδασκάλων[3], ὅτι ἑτέρα μετάνοια οὐκ ἔστιν εἰ μὴ ἐκείνη, ὅτε εἰς ὕδωρ κατέβημεν καὶ ἐλάβομεν ἄφεσιν ἁμαρτιῶν ἡμῶν τῶν προτέρων. 2. Λέγει μοι· Καλῶς ἤκουσας[4]· οὕτω γὰρ ἔχει. Ἔδει γὰρ τὸν εἰληφότα ἄφεσιν ἁμαρτιῶν μηκέτι ἁμαρτάνειν, ἀλλ' ἐν ἁγνείᾳ κατοικεῖν· 3. ἐπεὶ δὲ πάντα ἐξακριβάζῃ, καὶ τοῦτό σοι δηλώσω, μὴ διδοῦς ἀφορμὴν[5] τοῖς μέλλουσι πιστεύειν ἢ τοῖς νῦν πιστεύσασιν εἰς τὸν κύριον. Οἱ γὰρ νῦν πιστεύσαντες ἢ μέλλοντες πιστεύειν μετάνοιαν ἁμαρτιῶν οὐκ ἔχουσιν, ἄφεσιν[6] δὲ ἔχουσι τῶν προτέρων ἁμαρτιῶν αὐτῶν. 4. Τοῖς οὖν κληθεῖσι πρὸ τούτων τῶν ἡμε-

Iam, inquit, pergam domine interrogare. Dic, inquit. Audivi, inquam, domine ex quibusdam magistris, aliam paenitentiam non esse nisi illam, quando in aquam descendimus et accepimus remissionem peccatorum nostrorum priorum. 2. Dicit mihi: Recte audivisti; ita enim res se habet. Oportebat enim remissione peccatorum accepta non amplius peccare, sed in sanctitate manere; 3. quia autem omnia perscrutaris, et hoc tibi manifestabo non dans ansam iis, qui credituri sunt vel qui iam crediderunt in dominum. Qui enim iam crediderunt vel credituri sunt, paenitentiam peccatorum non habent, remissionem vero habent priorum peccatorum suo-

[1] i. e. Hermas. [2] i. e. angelus paenitentiae. [3] Hi eiusdem rigoris erant, cuius eodem fere tempore Montanus. [4] Hermas hanc sententiam sequitur, paenitentiam post baptismum non esse; postea autem (no. 4—6) iis, qui usque ad id tempus iam baptizati erant, unam paenitentiam concedit. [5] i. e. ansam seu occasionem amplius peccandi. [6] per baptismum.

ρῶν ἔθηκεν ὁ κύριος μετάνοιαν· καρδιογνώστης γὰρ ὢν ὁ κύριος καὶ πάντα προγινώσκων ἔγνω τὴν ἀσθένειαν τῶν ἀνθρώπων καὶ τὴν πολυπλοκίαν τοῦ διαβόλου, ὅτι ποιήσει τι κακὸν τοῖς δούλοις τοῦ θεοῦ καὶ πονηρεύσεται εἰς αὐτούς· 5. πολύσπλαγχνος οὖν ὢν ὁ κύριος ἐσπλαγχνίσθη ἐπὶ τὴν ποίησιν αὐτοῦ καὶ ἔθηκε τὴν μετάνοιαν ταύτην, καὶ ἐμοὶ ἡ ἐξουσία τῆς μετανοίας ταύτης ἐδόθη. 6. Ἀλλὰ ἐγώ σοι λέγω, φησί· Μετὰ τὴν κλῆσιν[1] ἐκείνην τὴν μεγάλην καὶ σεμνὴν ἐάν τις ἐκπειρασθεὶς ὑπὸ τοῦ διαβόλου ἁμαρτήσῃ, μίαν μετάνοιαν[2] ἔχει· ἐὰν δὲ ὑπὸ χεῖρα ἁμαρτάνῃ καὶ μετανοήσῃ, ἀσύμφορόν ἐστι[3] τῷ ἀνθρώπῳ τῷ τοιούτῳ· δυσκόλως γὰρ ζήσεται. 7. Λέγω αὐτῷ· Ἐζωοποιήθην[4] ταῦτα παρὰ σοῦ ἀκούσας οὕτως ἀκριβῶς· οἶδα γάρ, ὅτι, ἐὰν μηκέτι προσθήσω ταῖς ἁμαρτίαις μου, σωθήσομαι. Σωθήσῃ, φησί, καὶ πάντες, ὅσοι ἐὰν ταῦτα ποιήσωσιν.

rum. 4. Iis igitur, qui his ante diebus vocati sunt, statuit dominus paenitentiam; cum enim corda noverit dominus omniaque provideat, cognovit infirmitatem hominum astutiamque diaboli, qua multa mala hominibus facturus iisque maligne insidiaturus esset; 5. misericordia igitur magna cum utatur dominus in homines, miseruit eum creationis suae statuitque paenitentiam hanc, mihique potestas huius paenitentiae data est. 6. Atqui ego tibi dico, inquit: Post vocationem illam magnam et sanctam si quis tentatus a diabolo deliquerit, unam paenitentiam habet; sin subinde peccans paenitentiam egerit, inutile est homini tali; difficile enim ei erit vivere. 7. Dixi ei: Revixi, ubi haec ex te audivi tam accurate; scio enim, si nihil iam adiecero peccatis meis, me salvum fore. Salvus eris, inquit, et omnes, quicunque haec fecerint.

[1] i. e. post vocationem hanc ad paenitentiam per angelum paenitentiae factam. [2] Paenitentiam unam esse post baptismum, Pastor etiam Mand. IV 1, 8 docet. Vide et de hac sententia et de omni, quam profert Hermas de paenitentia, doctrina: Funk, Kirchengeschichtliche Abhandlungen I, 1891, 168—172. [3] Non in ecclesiam est recipiendus et vix salutem consequetur (Hefele). [4] Inde elucet, quantum severior de paenitentia doctrina, quam postea Tertullianus libello famoso De pudicitia defendit, id temporis hominum conscientias vexaverit.

Mand. X 3. *Tristitia penitus ex animo tollenda est.*

Ἔνδυσαι οὖν τὴν ἱλαρότητα τὴν πάντοτε ἔχουσαν χάριν παρὰ τῷ θεῷ καὶ εὐπρόσδεκτον οὖσαν αὐτῷ καὶ ἐντρύφα ἐν αὐτῇ. Πᾶς γὰρ ἱλαρὸς ἀνὴρ ἀγαθὰ ἐργάζεται καὶ ἀγαθὰ φρονεῖ καὶ καταφρονεῖ τῆς λύπης. 2. Ὁ δὲ λυπηρὸς ἀνὴρ πάντοτε πονηρεύεται· πρῶτον μὲν πονηρεύεται, ὅτι λυπεῖ τὸ πνεῦμα τὸ ἅγιον τὸ δοθὲν τῷ ἀνθρώπῳ ἱλαρόν· δεύτερον δὲ λυπῶν τὸ πνεῦμα τὸ ἅγιον ἀνομίαν ἐργάζεται, μὴ ἐντυγχάνων μηδὲ ἐξομολογούμενος τῷ κυρίῳ. Πάντοτε γὰρ λυπηροῦ ἀνδρὸς ἡ ἔντευξις οὐκ ἔχει δύναμιν τοῦ ἀναβῆναι ἐπὶ τὸ θυσιαστήριον τοῦ θεοῦ. 3. Διατί, φημί, οὐκ ἀναβαίνει ἐπὶ τὸ θυσιαστήριον ἡ ἔντευξις τοῦ λυπουμένου; Ὅτι, φησίν, ἡ λύπη ἐγκάθηται εἰς τὴν καρδίαν αὐτοῦ· μεμιγμένη οὖν ἡ λύπη μετὰ τῆς ἐντεύξεως οὐκ ἀφίησι τὴν ἔντευξιν ἀναβῆναι καθαρὰν ἐπὶ τὸ θυσιαστήριον. Ὥσπερ γὰρ ὄξος καὶ οἶνος μεμιγμένα ἐπὶ τὸ αὐτὸ τὴν αὐτὴν ἡδονὴν οὐκ ἔχουσιν, οὕτω καὶ ἡ λύπη μεμιγμένη μετὰ τοῦ ἁγίου πνεύματος τὴν αὐτὴν ἔντευξιν οὐκ ἔχει. 4. Καθάρισον οὖν σεαυτὸν ἀπὸ τῆς λύπης τῆς πονηρᾶς ταύ-

Proinde indue hilaritatem, quae semper gratiam habet apud deum eique accepta est, eaque luxuriare. Omnis enim vir hilaris, quae sunt bona, et operatur et cogitat et tristitiam contemnit. 2. At tristis vir semper nequam est; primum nequam est, quia contristat spiritum sanctum, qui datus est homini hilari; deinde contristando spiritum sanctum improbe facit neque orans neque confitens domino. Semper enim tristis viri oratio eam non habet vim, ut adscendat ad altare dei. 3. Quare, inquam, non adscendit ad altare oratio contristati? Quia, inquit, tristitia insidet in corde eius; mixta igitur tristitia cum oratione non sinit orationem adscendere puram ad altare. Sicut enim vinum aceto mixtum eandem non habet suavitatem, ita tristitia mixta cum spiritu sancto eandem precationem non habet. 4. Purga igitur te a tristitia hac mala et vives deo, et omnes vivent deo, quotquot abiecerint a se tristitiam et induerint omnem hilaritatem.

της, καὶ ζήσῃ τῷ θεῷ· καὶ πάντες ζήσονται τῷ θεῷ, ὅσοι ἂν ἀποβάλωσιν ἀφ' ἑαυτῶν τὴν λύπην καὶ ἐνδύσωνται πᾶσαν ἱλαρότητα.

Sim. V 1. *De vero ieiunio.*

Νηστεύων καὶ καθήμενος εἰς ὄρος τι καὶ εὐχαριστῶν τῷ κυρίῳ περὶ πάντων, ὧν ἐποίησε μετ' ἐμοῦ, βλέπω τὸν ποιμένα παρακαθήμενόν μοι καὶ λέγοντα· Τί ὀρθρινὸς ὧδε ἐλήλυθας; Ὅτι, φημί, κύριε, στατίωνα[1] ἔχω. 2. Τί, φησίν, ἐστὶ στατίων[2]; Νηστεύω, φημί, κύριε. Νηστεία δέ, φησί, τί ἐστιν αὕτη, ἣν νηστεύετε; Ὡς εἰώθειν, φημί, κύριε, οὕτω νηστεύω. 3. Οὐκ οἴδατε, φησί, νηστεύειν τῷ κυρίῳ, οὐδέ ἐστιν νηστεία αὕτη ἡ ἀνωφελής, ἣν νηστεύετε αὐτῷ. Διατί, φημί, κύριε, τοῦτο λέγεις; Λέγω σοι, φησίν, ὅτι οὐκ ἔστιν αὕτη νηστεία, ἣν δοκεῖτε νηστεύειν· ἀλλ' ἐγώ σε διδάξω, τί ἐστι νηστεία πλήρης καὶ δεκτὴ τῷ κυρίῳ. Ἄκουε, φησίν. 4. Ὁ θεὸς οὐ

Ieiunans sedensque in monte quodam et gratias agens domino pro omnibus, quae fecit mihi, video pastorem sedentem iuxta me et dicentem: Quid tam mane huc venisti? Quia, inquam, domine, stationem habeo. 2. Quid est, inquit, statio? Ieiuno, inquam, domine. Ieiunium autem, inquit, quid est hoc, quod ieiunatis? Ut consueram, inquam, domine, ita ieiuno. 3. Nescitis, inquit, ieiunare domino neque [verum] ieiunium est hoc inutile, quod ieiunatis ei. Quare, inquam, domine, hoc dicis? Dico tibi, inquit, non esse hoc ieiunium, quod vobis videmini ieiunare; equidem vero te docebo, quid sit ieiunium plenum acceptum-

[1] Inter Italos vivens Hermas stationis vocabulum more illorum usurpavit. Veteres Christianos feriis quarta et sexta cuiusque hebdomadis ieiunasse, iam Doctrina apostolorum (VIII 1) tradit; quod ieiunium stationem appellatum esse Hermas hoc loco primus testatur. Statio autem, ut ait Tertullianus (De oratione c. 19) 'de militari exemplo nomen accipit, nam et militia dei sumus'. [2] Ex hac quaestione colligere licet, notionem stationis temporibus Hermae nondum omnibus notam fuisse.

βούλεται τοιαύτην νηστείαν ματαίαν· οὕτω γὰρ νηστεύων τῷ θεῷ οὐδὲν ἐργάσῃ τῇ δικαιοσύνῃ. Νήστευσον δὲ τῷ θεῷ νηστείαν τοιαύτην· 5. Μηδὲν πονηρεύσῃ ἐν τῇ ζωῇ σου καὶ δούλευσον τῷ κυρίῳ ἐν καθαρᾷ καρδίᾳ· „τήρησον τὰς ἐντολὰς αὐτοῦ“[1] πορευόμενος ἐν τοῖς προστάγμασιν αὐτοῦ καὶ μηδεμία ἐπιθυμία πονηρὰ ἀναβήτω ἐν τῇ καρδίᾳ σου· πίστευσον δὲ τῷ θεῷ, ὅτι, ἐὰν ταῦτα ἐργάσῃ καὶ φοβηθῇς αὐτὸν καὶ ἐγκρατεύσῃ ἀπὸ παντὸς πονηροῦ πράγματος, ζήσῃ τῷ θεῷ· καὶ ταῦτα ἐὰν ἐργάσῃ, μεγάλην νηστείαν ποιήσεις καὶ δεκτὴν τῷ θεῷ.

que domino. Audi, inquit. 4. Deus non vult eiusmodi ieiunium vanum; ita enim ieiunando deo nihil acquiris iustitiae. Ieiuna autem deo ieiunium tale: Ne quid mali feceris in vita tua et servi domino corde puro; *serva mandata eius* ambulans in praeceptis eius neque ulla cupido mala adscendat in corde tuo; confide autem deo, si haec feceris eumque timueris et abstinueris omni negotio perverso, te victurum esse deo; et haec si operatus eris, magnum ieiunium facies acceptumque deo.

Sim. V 3, 2—3. *De operibus supererogatoriis.*

Τὰς ἐντολὰς[2] τοῦ κυρίου φύλασσε καὶ ἔσῃ εὐάρεστος τῷ θεῷ καὶ ἐγγραφήσῃ εἰς τὸν ἀριθμὸν τῶν φυλασσόντων τὰς ἐντολὰς αὐτοῦ. 3. Ἐὰν δέ τι ἀγαθὸν ποιήσῃς ἐκτὸς τῆς ἐντολῆς τοῦ θεοῦ, σεαυτῷ περιποιήσῃ δόξαν περισσοτέραν καὶ ἔσῃ ἐνδοξότερος παρὰ τῷ θεῷ, οὗ ἔμελλες εἶναι. Ἐὰν οὖν φυλάσσων τὰς ἐντολὰς

Mandata domini custodi et eris acceptus deo et inscriberis in numero eorum, qui custodiunt mandata eius. 3. Si quid vero boni feceris praeter mandatum dei, acquires tibi gloriam abundantiorem erisque gloriosior apud deum, quam eras futurus. Si igitur custodiens mandata dei adieceris et haec opera, gaudebis, si

[1] Matth. 19, 17. [2] Cfr. Matth. 19, 16 squ. Intellegenda sunt ea mandata, quae servanda sunt omnibus hominibus ex praecepto domini, inprimis praecepta decalogi.

τοῦ θεοῦ προσθῇς καὶ τὰς λειτουργίας ταύτας[1], *χαρήσῃ, ἐὰν τηρήσῃς αὐτὰς κατὰ τὴν ἐμὴν ἐντολήν*[2].

ea observaveris ex praecepto meo.

Sim. V 5, 2; 6, 5; IX 1, 1. *Spiritus sanctus ab Herma idem haberi videtur qui filius dei.*

Ὁ ἀγρὸς[3] *ὁ κόσμος οὗτός ἐστιν*[4]· *ὁ δὲ κύριος τοῦ ἀγροῦ ὁ κτίσας τὰ πάντα καὶ ἀπαρτίσας αὐτὰ καὶ δυναμώσας· ὁ δὲ υἱὸς*[5] *τὸ πνεῦμα τὸ ἅγιόν ἐστιν· ὁ δὲ δοῦλος ὁ υἱὸς τοῦ θεοῦ ἐστιν· αἱ δὲ ἄμπελοι ὁ λαὸς οὗτός ἐστιν, ὃν αὐτὸς ἐφύτευσεν.*

Ager hic mundus est; dominus vero agri, qui creavit omnia et perfecit ea confirmavitque; filius spiritus sanctus est; servus autem filius dei est; vites populus hic sunt, quem plantavit ipse.

6, 5. *Τὸ πνεῦμα τὸ ἅγιον τὸ προόν, τὸ κτίσαν πᾶσαν τὴν κτίσιν, κατῴκισεν ὁ θεὸς εἰς σάρκα*[6], *ἣν ἠβούλετο. Αὕτη οὖν ἡ σάρξ*[7], *ἐν*

6, 5. Spiritum sanctum, qui antea erat, qui creavit omnem creaturam, constituit deus in carne, quam elegit. Haec igitur

[1] De ieiunio in antecedentibus partibus sermo fuit. [2] i. e. ita, ut mandata domini exsequenda hisce operibus praetuleris et ieiunaveris a peccatis potissimum; hunc esse sensum, constat ex sequentibus no. 5 et 6. [3] Explicatur hac parte similitudo antea (Sim. V 2) proposita de servo, cui dominus quidam vineam curandam tradidit et quem, postquam mandato exsequendo summum laborem impertivit, cohaeredem filii sui fecit. [4] Matth. 13, 38. [5] i. e. filius patris familias. [6] Hermas locum Luc. 1, 35 (spiritus sanctus superveniet in te) ita intellexisse videtur, ut spiritus sanctus carni mixtus Iesus Christus seu filius dei evaserit. Eodem modo dicit s. Cyprianus (Quod idola non sint c. 11): 'Hic (filius dei) in virginem delabitur, carnem spiritus sanctus induitur, deus cum homine miscetur'. Disertissime autem s. Iustinus spiritum sanctum qui descendit super Mariam, *τὸν λόγον* seu filium dei esse declaravit (Apol. I 33: *Τὸ πνεῦμα καὶ τὴν δύναμιν τὴν παρὰ τοῦ θεοῦ οὐδὲν ἄλλο νοῆσαι θέμις ἢ τὸν λόγον, ὅς καὶ πρωτοτόκος τῷ θεῷ ἐστιν*). [7] i. e. humana natura.

ἧ κατῴκισε τὸ πνεῦμα τὸ ἅγιον, ἐδούλευσε τῷ πνεύματι καλῶς ἐν σεμνότητι καὶ ἁγνείᾳ πορευθεῖσα, μηδὲν ὅλως μιάνασα τὸ πνεῦμα.

caro, in qua constituit spiritum sanctum, servivit spiritui bene in honestate et sanctitate ambulans neque ulla re maculans spiritum.

IX 1, 1. Μετὰ τὸ γράψαι με τὰς ἐντολὰς καὶ παραβολὰς[1] τοῦ ποιμένος, τοῦ ἀγγέλου τῆς μετανοίας, ἦλθε πρός με καὶ λέγει μοι· Θέλω σοι δεῖξαι, ὅσα σοι ἔδειξε τὸ πνεῦμα τὸ ἅγιον τὸ λαλῆσαν μετὰ σοῦ ἐν μορφῇ τῆς ἐκκλησίας· ἐκεῖνο γὰρ τὸ πνεῦμα ὁ υἱὸς τοῦ θεῦ ἐστιν[2].

IX 1, 1. Postquam scripsi mandata et similitudines pastoris, angeli paenitentiae, venit ad me et: Volo, inquit, tibi monstrare, quae monstravit tibi spiritus sanctus, qui locutus est tecum in figura ecclesiae; ille enim spiritus filius dei est.

[1] Dividitur liber Hermae in Visiones, Mandata, Similitudines; in Visionibus ei se manifestavit spiritus sanctus in figura ecclesiae, Mandata vero et Similitudines communicavit cum eo angelus paenitentiae in figura pastoris. [2] Expressis verbis hoc loco spiritus sanctus filius dei appellatur.

CATHOLIC THEOLOGICAL UNION
BR63.F4FASC.1 C001
MONUMENTA AEVI APOSTOLICI ED. ALTERA EM

3 0311 00011 6439

BR
63
.F4
36267
Rauschen, Gerardus,
AUTHOR
fasc.1 Monumenta aevi apostolici.
TITLE
DATE DUE
BORROWER'S NAME
9615
STUDENTS' LIBRARY

3 0311 00041 [redacted]

W9-DJJ-975